Digitized by Google

BIBLIOTECA LUCCHESI-PALLI.
III.ª SALA
SCAFFALE 9
PLUTEO III
N.° CATENA 4

·BIBLIOTECA·
·LVCCHESI·PALLI·

Grande Sala O. 1.
9. III. 4

Digitized by Google

III 3 III 4

Digitized by Google

Digitized by Google

73570

ΘΟΥΚΥΔΙΔΗΣ

THUCYDIDIS
DE BELLO PELOPONNESIACO
LIBRI OCTO

GRAECE ET LATINE

AD EDITIONEM IOS. WASSE ET CAR. ANDR. DUKERI

ACCURATE EXPRESSI

CUM VARIETATE LECTIONIS ET ANNOTATIONIBUS



VOLUMEN QUARTUM

BIPONTI
EX TYPOGRAPHIA SOCIETATIS
CIↃIↃCCLXXXIX



Digitized by Google

Digitized by Google

ΘΟΥΚΥΔΙΔΟΥ

ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΕΚΤΟΝ

Digitized by Google

EPITOME LIBRI VI.

SICILIAE magnitudo, urbesque & gentes eam incolentes referuntur. Cap. VI. *Adversus quam Athenienses, specie ut Egestanis contra Syracusanos auxilio essent, re ipsa ut in suam ditionem redigerent insulam, expeditionem pararunt: classemque maximam & instructissimam, Nicia & Alcibiade & Lamacho ducibus, eo miserunt.* XXIX. *Haec in Corcyram primo, inde Italiam veniens, paulo post in Siciliam transmissa.* XLIV. *Praeter Egestam, Naxus quoque & Catana urbes Athenienses receperunt.* LI. *Hinc Alcibiades ob Hermarum praecisionem & alia crimina, iam ante profectionem agitata, revocatus, veritus iudicium populi, voluntarium in exsilium ivit: & obiter, de facinore Aristogitonis & Harmodii.* LIV. LX. *Cum Athenienses Catanae se castris quieti tenerent, Syracusani feroces exercitum suum illuc miserunt. qua occasione Athenienses nocte ad Syracusas classe circumvecti, & loco idoneo castra metati, Syracusanos redeuntes acie vicerunt.* LXVII. *Inde Catanam reversi.* LXXI. *Alcibiades exsul a Lacedaemoniis accitus, ut Syracusanis ducem & auxilia mitterent, ac Deceleam in Attica communirent, suasit.* XCI. *Aestate sequente Athenienses ad Syracusas reversi, Epipolis captis, acieque ibidem Syracusanis devictis, urbem circummunire ordiuntur.* XCIX. *Cum Syracusanis opera impedire conantibus aliquot proeliis secundo eventu pugnant: donec magna ex parte munitionibus urbem clauserunt.* CII. *Gylippus a Lacedaemoniis dux Syracusanis missus, in Italiam venit.* CIV. *Athenienses, Laconicae parte populata, propalam foedus Lacedaemonium ruperunt.* CV.

Digitized by Google

ΘΟΥΚΥΔΙΔΟΥ

ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΕΚΤΟΝ.

THUCYDIDIS

OLORI FILII

HISTORIAE LIBER SEXTUS.

Τοῦ δ' αὐτοῦ χειμῶνος Ἀθηναῖοι ἐβούλοντο αὖθις μείζονι παρασκευῇ τῆς μετὰ Λάχητος καὶ Εὐρυμέδοντος, ἐπὶ Σικελίαν πλεύσαντες, καταστρέψασθαι, εἰ δύναιντο· ἄπειροι οἱ πολλοὶ ὄντες τοῦ μεγέθους τῆς νήσου, καὶ τῶν ἐνοικούντων τοῦ πλήθους καὶ Ἑλλήνων καὶ βαρβάρων· καὶ ὅτι οὐ πολλῷ τινι ὑποδεέστερον πόλεμον ἀνηροῦντο ἢ τὸν πρὸς Πελοποννησίους. Σικελίας γὰρ περί-

Bell. Pelop. an. 16. Olymp. 91. 1. U. C. Varr. 338. Post Oct. 15.

Hac eadem hieme Athenienſes cum maiori apparatu, quam erat is, quem cum Lachete & Eurymedonte miſerant, rurſus in Siciliam navigantes, eam, ſi poſſent, ſubigere decreverunt. Nam ipſorum plerique ignari erant & magnitudinis illius inſulae, & multitudinis tum Graecorum, tum barbarorum, in ea habitantium. Et ignorabant, ſe ſuſcipere bellum haud multo minus, quam quod adverſus Peloponneſios ſuſceperant. Nam Siciliae ambitus eſt

Digitized by Google

πλους μέν ἐστιν ὁλκάδι οὐ πολλῷ τινι ἔλασσον ἢ ὀκτὼ ἡμερῶν. καὶ τοσαύτη οὖσα, ἐν εἴκοσι σταδίων μάλιστα μέτρῳ τῆς θαλάσσης διείργεται, τὸ μὴ ἤπειρος οὖσα.

β'. Ὠκίσθη δὲ ὧδε τοαρχαῖον, καὶ τοσάδε ἔθνη ἔσχε τὰ ξύμπαντα. παλαιότατοι μὲν λέγονται ἐν μέρει τινὶ τῆς χώρας Κύκλωπες καὶ Λαιστρυγόνες οἰκῆσαι. ὧν ἐγὼ οὔτε γένος ἔχω εἰπεῖν, οὔτε ὁπόθεν εἰσῆλθον, ἢ ὅποι ἀπεχώρησαν. ἀρκείτω δὲ ὡς ποιηταῖς τε εἴρηται, καὶ ὡς ἕκαστός πη γιγνώσκει περὶ αὐτῶν. Σικανοὶ δὲ μετ' αὐτοὺς πρῶτοι Φαίνονται ἐνοικισάμενοι, ὡς μὲν αὐτοί Φασι, καὶ πρότεροι, διὰ τὸ αὐτόχθονες εἶναι· ὡς δὲ ἡ ἀληθεία εὑρίσκεται, Ἴβηρες ὄντες, καὶ ἀπὸ τοῦ Σικανοῦ ποταμοῦ τοῦ ἐν Ἰβηρίᾳ ὑπὸ Λιγύων ἀναστάντες. καὶ ἀπ' αὐτῶν Σικανία τότε ἡ νῆσος ἐκαλεῖτο, πρότερον

non multo minor octo dierum circumnavigatione, navi onerariae. Quamvis autem tanta ſit, tamen tantum viginti ſtadiorum ad ſummum maritimo ſpatio diſcluditur, ne ſit continens.

II. Sic autem antiquitus habitata fuit, ac tot gentes in univerſum eam tenuerunt. Antiquiſſimi quidem in quadam illius regionis parte feruntur habitaſſe Cyclopes atque Laeſtrygones: quorum ego neque genus, neque locum, unde venerint, neque quo abierint, dicere habeo. Sufficiant autem ea, quae a poëtis dicta ſunt, & quae unuſquiſque de ipſis ſentit. Sicani vero poſt ipſos primi ſedes hic poſſuiſſe putantur, &, ut ipſi quidem praedicant, vel priores, & ante Cyclopes, quod eſſent indigenae. ſed, ut veritas comperitur, cum Iberi eſſent, & a Sicano Iberiae flumine, a Ligybus expulſi, in Siciliam iverunt. Et haec inſula tunc ab ipſis Sicania vocabatur, cum prius Trina-

Digitized by Google

Τριναχρία καλουμένη. οἰκοῦσι δὲ ἔτι καὶ νῦν τὰ πρὸς ἑσπέραν τῆς Σικελίας. Ἰλίου δὲ ἁλισκομένου, τῶν Τρώων τινὲς διαφυγόντες Ἀχαιοὺς, πλοίοις ἀφικνεῦνται πρὸς τὴν Σικελίαν· καὶ ὅμοροι τοῖς Σικανοῖς οἰκήσαντες, ξύμπαντες μὲν Ἔλυμοι ἐκλήθησαν, πόλεις δ' αὐτῶν Ἔρυξ τε καὶ Ἔγεστα. προσξυνῴκησαν δὲ αὐτοῖς καὶ Φωκέων τινὲς τῶν ἀπὸ Τροίας, τότε χειμῶνι ἐς Λιβύην πρῶτον, ἔπειτα ἐς Σικελίαν ἀπ' αὐτῆς κατενεχθέντες. Σικελοὶ δ' ἐξ Ἰταλίας (ἐνταῦθα γὰρ ᾤκουν) διέβησαν ἐς Σικελίαν, φεύγοντες Ὀπικοὺς, ὡς μὲν εἰκὸς, καὶ λέγεται, ἐπὶ σχεδιῶν τηρήσαντες τὸν πορθμὸν, κατιόντος τοῦ ἀνέμου, τάχα ἂν δὲ καὶ ἄλλως πως ἐσπλεύσαντες. εἰσὶ δὲ καὶ νῦν ἔτι ἐν τῇ Ἰταλίᾳ Σικελοὶ, καὶ ἡ χώρα ἀπὸ Ἰταλοῦ βασιλέως τινὸς Ἀρκάδων τοῦνομα τοῦτο ἔχοντος, οὕτως Ἰταλία ἐπωνομάσθη. ἐλθόν-

cria nominaretur. Et nunc etiam Siciliae partes ad occaſum vergentes incolunt. Ilio autem capto quidam Troiani, qui Achaeos effugerant, navibus ad Siciliam appulerunt: ſedibuſque poſitis in Sicanorum finibus, univerſi vocati ſunt Elymi, urbeſque ipſorum fuere Eryx & Egeſta. His autem accolae acceſſerunt & nonnulli Phocenſes, ex eorum numero, qui a Troia tunc in Libyam tempeſtate delati primum, deinde ex Libya in Siciliam tranſmiſere. Siculi vero ex Italia (illic enim habitabant) in Siciliam traiecerunt, fugientes Opicos, ut & credibile eſt, & fama fertur, ratibus, obſervato freto, cum ventus ſecundus flabat: fortaſſe etiam aliqua alia ratione eo navigantes. Sunt autem nunc etiam in Italia Siculi, & illa regio a quodam Italo Arcadum rege, qui nomen hoc habebat, ſic Italia cognominata fuit. Cum autem ingentes Sicu-

τες δὲ ἐς τὴν Σικελίαν στρατὸς πολὺς, τούς τε Σικανοὺς κρατοῦντες μάχῃ, ἀπέστειλαν πρὸς τὰ μεσημβρινὰ καὶ ἑσπέρια αὐτῆς, καὶ ἀντὶ Σικανίας Σικελίαν τὴν νῆσον ἐποίησαν καλεῖσθαι, καὶ τὰ κράτιστα τῆς γῆς ᾤκησαν ἔχοντες, ἐπεὶ διέβησαν, ἔτη ἐγγὺς τριακόσια πρὶν Ἕλληνας ἐς Σικελίαν ἐλθεῖν· ἔτι δὲ καὶ νῦν τὰ μέσα καὶ τὰ πρὸς βορρᾶν τῆς νήσου ἔχουσιν. ᾤκουν δὲ καὶ Φοίνικες περὶ πᾶσαν μὲν τὴν Σικελίαν, ἄκρας τε ἐπὶ τῇ θαλάσσῃ ἀπολαβόντες, καὶ τὰ ἐπικείμενα νησίδια, ἐμπορίας ἕνεκεν τῆς πρὸς τοὺς Σικελούς. ἐπειδὴ δὲ οἱ Ἕλληνες πολλοὶ κατὰ θάλασσαν ἐπεισέπλεον, ἐκλιπόντες ταπλείω, Μοτύην καὶ Σολόεντα καὶ Πάνορμον ἐγγὺς τῶν Ἐλύμων ξυνοικίσαντες ἐνέμοντο, ξυμμαχίᾳ τε πίσυνοι τῇ τῶν Ἐλύμων, καὶ ὅτι ἐντεῦθεν ἐλαχιστον

lorum copiae in Siciliam traieciſſent, & Sicanos proelio viciſſent, in meridionales & occidentales inſulae partes eos amandarunt, & auctores fuerunt, ut haec inſula pro Sicania vocaretur Sicilia, & feraciſſimas quaſque illius agri partes, poſtquam eo traiecerunt, retinentes incoluerunt, annis prope trecentis ante Graecorum in Siciliam adventum. Et nunc quoque tenent mediterraneas eius inſulae partes, & eas, quae ad Aquilonem vergunt. Phoenices praeterea per eandem paſſim habitaverunt, occupatis ad mare promontoriis, & parvis inſulis adiacentibus, ut cum Siculis negotiarentur. At poſtquam permulti Graecorum cum navibus eo traiecerunt, relictis pleriſque inſulae partibus, Motyam, & Soloëntem, & Panormum, oppida Elymis finitima, in unum coëuntes, incoluerunt, tum ſocietate Elymorum freti, tum quod Carthago perexiguo tra-

πλεῦν Καρχηδὼν Σικελίας ἀπέχει. βάρβαροι μὲν οὖν τοσοίδε Σικελίαν καὶ οὕτως ὤκησαν.

γ'. Ἑλλήνων δὲ πρῶτοι Χαλκιδεῖς ἐξ Εὐβοίας πλεύσαντες μετὰ Θουκλέους οἰκιστοῦ, Νάξον ὤκησαν, καὶ Ἀπόλλωνος Ἀρχηγέτου βωμὸν, ὅστις νῦν ἔξω τῆς πόλεώς ἐστιν, ἱδρύσαντο. ἐφ' ᾧ ὅταν ἐκ Σικελίας Θεωροὶ πλεύσωσι, πρῶτον θύουσι. Συρακούσας δὲ τοῦ ἐχομένου ἔτους Ἀρχίας τῶν Ἡρακλειδῶν ἐν Κορίνθου ὤκισε, Σικελοὺς ἐξελάσας πρῶτον ἐκ τῆς νήσου, ἐν ᾗ νῦν οὐκέτι περικλυζομένη ἡ πόλις ἡ ἐντός ἐστιν· ὕστερον δὲ χρόνῳ καὶ ἡ ἔξω, προστειχισθεῖσα, πολυάνθρωπος ἐγένετο. Θουκλῆς δὲ καὶ οἱ Χαλκιδεῖς ἐκ Νάξου ὁρμηθέντες ἔτει πέμπτῳ μετὰ Συρακούσας οἰκισθείσας, Λεοντίνους τε, πολέμῳ τοὺς Σικελοὺς ἐξελάσαντες, οἰκίζουσι, καὶ μετ' αὐτοὺς Κατάνην. οἰκιστὴν δὲ αὐτοὶ Καταναῖοι ἐποιήσαντο Εὔαρχον.

ietu illinc a Sicilia diſtaret. Tot igitur numero barbari, atque hoc modo Siciliam habitaverunt.

III. Graecorum autem primi Chalcidenſes, ex Euboea navigantes cum Theucle coloniae duce, Naxum condiderunt, & Apollinis Archegetae aram, quae nunc extra urbem exſtat, exſtruxerunt: ſupra quam Theori, quoties e Sicilia ſolvunt, primum ſacrificium faciunt. Inſequenti anno Archias, Heraclidarum unus, Corintho profectus, Syracuſas condidit, Siculis ex inſula prius expulſis, in qua non amplius mari circumflua urbs ſita eſt interior. Poſtea vero & urbs ea, quae eſt extra hanc inſulam, muro alteri urbi adiuncta, populo frequens facta eſt. Theucles autem & Chalcidenſes, Naxo profecti, anno quinto poſt Syracuſas conditas, Leontinos, ejectis bello Siculis, con-

δ'. Κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ Λάμις ἐκ Μεγάρων ἀποικίαν ἄγων, ἐς Σικελίαν ἀφίκετο, καὶ ὑπὲρ Παντακίου τε ποταμοῦ Τρώτιλόν τι ὄνομα χωρίον οἰκίσας, καὶ ὕστερον αὐτόθεν τοῖς Χαλκιδεῦσιν ἐς Λεοντίνους ὀλίγον χρόνον ξυμπολιτεύσας, καὶ ὑπὸ αὐτῶν ἐκπεσὼν, καὶ Θάψον οἰκίσας, αὐτὸς μὲν ἀποθνήσκει, οἱ δ' ἄλλοι ἐκ τῆς Θάψου ἀναστάντες, Ὑβλωνος βασιλέως Σικελοῦ προδόντος τὴν χώραν, καὶ καθηγησαμένου, Μεγαρέας ᾤκισαν τοὺς Ὑβλαίους καλουμένους. καὶ ἔτη οἰκήσαντες πέντε καὶ τεσσαράκοντα καὶ διακόσια, ὑπὸ Γέλωνος τυράννου Συρακουσίων ἀνέστησαν ἐκ τῆς πόλεως καὶ χώρας. πρὶν δὲ ἀναστῆναι, ἔτεσιν ὕστερον ἑκατὸν ἢ αὐτοὺς οἰκίσαι, Πάμμιλον πέμψαντες ἐς Σελινοῦντα κτίζουσι· καὶ ἐκ Μεγάρων τῆς μητροπόλεως

diderunt; & poſt ipſos, Catanam. Ipſi vero Catanaei Euarchum coloniae deducendae ducem crearunt.

IV. Per idem vero tempus & Lamis, coloniam Megaris ducens, in Siciliam pervenit, & ſuper Pantacium flumen locum quendam, nomine Trotilum, condidit, & illinc poſtea digreſſus, cum apud Leontinos aliquamdiu rempublicam una cum Chalcidenſibus adminiſtraſſet, & ab ipſis Leontinis eiectus fuiſſet, & Thapſum condidiſſet, ipſe quidem obiit; ceteri vero Thapſo expulſi, duce Hyblone rege Siculo, qui regionem prodiderat, Megara, quae Hyblaea vocabantur, condiderunt. Et cum hanc urbem ducentos & quadraginta quinque annos habitaſſent, a Gelone Syracuſanorum rege ex urbe & agro expulſi fuerunt. Sed antequam expellerentur, anno centeſimo poſt urbem ab ipſis conditam, Selinuntem Pammilo illuc miſſo condiderunt. Hic autem e Megaris ipſorum metropoli eo pro-

ης αὐτοῖς ἐπελθὼν, ξυγκατῴκισε. Γέλαν δὲ Ἀντίφημος ἐκ Ῥόδου καὶ Ἔντιμος ἐκ Κρήτης, ἐποίκους ἀγαγόντες, κοινῇ ἔκτισαν ἔτει πέμπτῳ καὶ τεσσαρακοστῷ μετὰ τὴν Συρακουσῶν οἴκησιν. καὶ τῇ μὲν πόλει ἀπὸ τοῦ Γέλα ποταμοῦ τοὔνομα ἐγένετο· τὸ δὲ χωρίον οὗ νῦν πόλις ἐστὶ, καὶ ὃ πρῶτον ἐτειχίσθη, Λίνδιοι καλεῖται. νόμιμα δὲ Δωρικὰ ἐτέθη αὐτοῖς· ἔτεσι δὲ ἐγγύτατα ὀκτὼ καὶ ἑκατὸν μετὰ τὴν σφετέραν οἴκησιν Γελῷοι Ἀκράγαντα ὤκισαν, τὴν μὲν πόλιν ἀπὸ τοῦ Ἀκράγαντος ποταμοῦ ὀνομάσαντες, οἰκιστὰς δὲ ποιήσαντες Ἀριστόνουν καὶ Πυστίλον, νόμιμα δὲ τὰ Γελῴων δόντες. Ζάγκλη δὲ τὴν μὲν ἀρχὴν ἀπὸ Κύμης τῆς ἐν Ὀπικίᾳ Χαλκιδικῆς πόλεως λῃστῶν ἀφικομένων ᾠκίσθη, ὕστερον δὲ ἀπὸ Χαλκίδος καὶ τῆς ἄλλης Εὐβοίας πλῆθος

fectus, urbem illam cum ceteris ſociis condidit. Gelam vero Antiphemus e Rhodo, & Entimus ex Creta, ſuam uterque coloniam ducentes, communiter condiderunt, anno quadrageſimo quinto poſt Syracuſas habitari coeptas. Atque huic quidem urbi a Gela flumine nomen impoſitum fuit: locus vero, ubi nunc urbs eſt ſita, & qui primus muro munitus fuit, Lindii vocatur. Iura autem Dorica ipſis conſtituta fuerunt. Anno autem propemodum centeſimo octavo ab urbe ſua condita, Geloi Acragantem condiderunt, urbemque ab Acragante fluvio nominarunt, & coloniae deducendae & collocandae duces ſibi delegerunt Ariſtonoum & Pyſtilum, ſuaque iura incolis dederunt. Zancle vero initio quidem a latronibus, qui e Cumis, urbe Chalcidica in agro Opico ſita, venerant, condita fuit. Poſtea vero multitudo, quae ex Chalcide & ex reliqua Euboea venerat, agrum communiter poſſedit.

ἐλθὸν ξυγκατενείμαντο τὴν γῆν· καὶ οἰκισταὶ Περιήρης καὶ Κραταιμένης ἐγένοντο αὐτῆς, ὁ μὲν ἀπὸ Κύμης, ὁ δὲ ἀπὸ Χαλκίδος. ὄνομα δὲ τὸ μὲν πρῶτον, Ζάγκλη ἦν ὑπὸ τῶν Σικελῶν κληθεῖσα, ὅτι δρεπανοειδὲς τὸ χωρίον τὴν ἰδέαν ἐστὶ, τὸ δὲ δρέπανον οἱ Σικελοὶ ζάγκλον καλοῦσιν· ὕστερον δὲ, αὐτοὶ μὲν ὑπὸ Σαμίων καὶ ἄλλων Ἰώνων ἐκπίπτουσιν, οἱ Μήδους φεύγοντες προσέβαλον Σικελίᾳ.

ε'. Τοὺς δὲ Σαμίους Ἀναξίλας Ῥηγίνων τύραννος οὐ πολλῷ ὕστερον ἐκβαλὼν, καὶ τὴν πόλιν αὐτοῖς ξυμμίκτων ἀνθρώπων οἰκίσας, Μεσσήνην ἀπὸ τῆς ἑαυτοῦ τοαρχαῖον πατρίδος ἀντωνόμασε. καὶ Ἱμέρα ἀπὸ Ζάγκλης ᾠκίσθη ὑπὸ Εὐκλείδου, καὶ Σίμου, καὶ Σάκωνος. καὶ Χαλκιδεῖς μὲν οἱ πλεῖστοι ἦλθον ἐς τὴν ἀποικίαν, ξυνῴκησαν δὲ αὐτοῖς καὶ ἐκ Συρακουσῶν φυγά-

Eiuſque coloniae illuc deductae, ibique collocatae duces fuerunt Perieres atque Crataemenes, quorum alter e Cumis, alter e Chalcide venerat. Haec autem urbs primo quidem a Siculis Zancle vocata fuit, quod locus ille ſpeciem falcis habeat: falcem autem Siculi zanclon appellant. Poſtea vero ipſi quidem a Samiis & aliis Ionibus, qui Medos fugientes ad Siciliam appulerant, expulſi fuerunt.

V. Anaxilas vero Rheginorum tyrannus, non multo poſt Samiis illinc eiectis, urbem hominibus, quos cum ipſis miſcuit, frequentem reddidit, & nomine mutato Meſſenen a ſua antiqua patria nominavit, cum ante Zancle vocaretur. Poſt Zanclen autem conditam, Himera ab Euclide & Simo & Sacone condita fuit. Et Chalcidenſes plerique in iſtam coloniam venerunt, & cum ipſis habitaverunt & Syracuſani exſules, a contraria factione ſuperati,

δες, στάσει νικηθέντες, οἱ Μυλητίδαι καλούμενοι. καὶ φωνὴ μὲν μεταξὺ τῆς τε Χαλκιδέων καὶ Δωρίδος ἐκράθη, νόμιμα δὲ τὰ Χαλκιδικὰ ἐκράτησεν. Ἄκραι δὲ καὶ Κάσμεναι ὑπὸ Συρακουσίων ᾠκίσθησαν· Ἄκραι μὲν, ἑβδομήκοντα ἔτεσι μετὰ Συρακούσας, Κάσμεναι δὲ, ἐγγὺς εἴκοσι μετὰ Ἄκρας. καὶ Καμαρίνα τοπρῶτον ὑπὸ Συρακουσίων ᾠκίσθη, ἔτεσιν ἐγγύτατα πέντε καὶ τριάκοντα καὶ ἑκατὸν μετὰ Συρακουσῶν κτίσιν. οἰκισταὶ δὲ ἐγένοντο αὐτῆς Δάσκων καὶ Μενέκωλος. ἀναστάτων δὲ Καμαριναίων γενομένων πολέμῳ ὑπὸ Συρακουσίων δι' ἀπόστασιν, χρόνῳ Ἱπποκράτης ὕστερον Γέλας τύραννος, λύτρα ἀνδρῶν Συρακουσίων αἰχμαλώτων λαβὼν, τὴν γῆν τὴν Καμαριναίων, αὐτὸς οἰκιστὴς γενόμενος, κατῴκισε Καμαρίναν. καὶ αὖθις ὑπὸ Γέλωνος

qui Myletidae vocantur. Et lingua quidem iſtorum eſt medium quoddam genus ex Chalcidica & Dorica mixtum, leges vero Chalcidenſes obtinuerunt. Acrae vero & Caſmenae a Syracuſanis conditae fuerunt. Et Acrae quidem, ſeptuaginta annis poſt Syracuſas conditas; Caſmenae vero, viginti circiter annis poſt Acras conditas. Et Camarina primum, a Syracuſanis condita fuit, ferme centum & triginta quinque annis poſt Syracuſas conditas. Ipſius vero conditores fuerunt Daſcon & Menecolus. Cum autem Camarinaei a Syracuſanis, propter defectionem ab ipſis factam, bello ex ſuis ſedibus expulſi fuiſſent; non multo poſt Hippocrates, Gelae tyrannus, cum pro Syracuſanorum captivorum redemtione Camarinaeum agrum accepiſſet, ipſe coloniae dux fuit, eamque in urbe Camarina collocavit. & rurſus, cum a Gelone ſuis ſedibus expulſi fuiſſent,

ἀνάστατος γενομένη, τοτρίτον κατῳκίσθη ὑπὸ Γέλωνος.

στ'. Τοσαῦτα ἔθνη Ἑλλήνων καὶ βαρβάρων Σικελίαν ᾤκει· καὶ ἐπὶ τοσήνδε οὖσαν αὐτὴν οἱ Ἀθηναῖοι στρατεύειν ὥρμηντο, ἐφιέμενοι μὲν, τῇ ἀληθεστάτῃ προφάσει, τῆς πάσης ἄρχειν, βοηθεῖν δὲ ἅμα εὐπρεπῶς βουλόμενοι τοῖς ἑαυτῶν ξυγγενέσι, καὶ τοῖς προσγεγενημένοις ξυμμάχοις. μάλιστα δ' αὐτοὺς ἐξώρμησαν Ἐγεσταίων τε πρέσβεις παρόντες, καὶ προθυμότερον ἐπικαλούμενοι. ὄμοροι γὰρ ὄντες τοῖς Σελινουντίοις, ἐς πόλεμον καθέστασαν, περί τε γαμικῶν τινων, καὶ περὶ γῆς ἀμφισβητήτου· καὶ οἱ Σελινούντιοι Συρακουσίους ἐπαγόμενοι ξυμμάχους, κατεῖργον αὐτοὺς τῷ πολέμῳ καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. ὥστε τὴν γενομένην ἐπὶ Λάχητος καὶ τοῦ προτέρου πολέμου Λεοντίνων

ab eodem Gelone tertio in eadem urbe collocati fuerunt.

VI. Tot igitur gentes, partim Graecae, partim barbarae, Siciliam incolebant. Quamvis autem haec insula tanta esset ac tot populis referta, huic tamen Athenienses impetu quodam animi bellum inferre statuerunt, cupientes quidem, quae verissima erat causa, totius imperio potiri, simul vero quodam honesto praetextu, Chalcidensibus, suis cognatis, pristinisque sociis opem ferre volentes. Ipsos autem potissimum ad hoc impulerunt Egestaeorum legati, qui illic aderant, & enixius auxilium implorabant. Cum enim Selinuntiis essent finitimi, bellum adversus eos susceperant, propter quasdam res, quae ad nuptias spectabant, & propter agrum controversum. Et Selinuntii, accitis Syracusanis sociis, ipsos bello terra marique premebant. Quamobrem Egestaei Athenienses in memoriam reducebant societatem cum ipsis factam Lachetis & superioris

οἱ Ἐγεσταῖοι ξυμμαχίαν ἀναμιμνήσκοντες τοὺς Ἀθηναίους, ἐδέοντο σφίσι ναῦς πέμψαντες ἐπαμῦναι· λέγοντες ἄλλα τε πολλὰ, καὶ κεφάλαιον, εἰ Συρακούσιοι Λεοντίνους τε ἀναστήσαντες, ἀτιμώρητοι γενήσονται, καὶ τοὺς λοιποὺς ἔτι ξυμμάχους αὐτῶν διαφθείραντες, αὐτοὶ τὴν ἅπασαν δύναμιν τῆς Σικελίας σχήσουσι, κίνδυνον εἶναι μήποτε μεγάλῃ παρασκευῇ Δωριεῖς τε Δωριεῦσι, κατὰ τὸ ξυγγενὲς, καὶ ἅμα ἄποικοι τοῖς ἐκπέμψασι Πελοποννησίοις βοηθήσαντες, καὶ τὴν ἐκείνων δύναμιν ξυγκαθέλωσι. σῶφρον δ' εἶναι, μετὰ τῶν ὑπολοίπων ἔτι ξυμμάχων ἀντέχειν τοῖς Συρακουσίοις, ἄλλως τε καὶ χρήματα σφῶν παρεξόντων ἐς τὸν πόλεμον ἱκανά. ὧν ἀκούοντες οἱ Ἀθηναῖοι ἐν ταῖς ἐκκλησίαις τῶν τε Ἐγεσταίων πολλάκις λεγόντων, καὶ τῶν ξυναγορευόντων αὐτοῖς, ἐψηφίσαντο, πρέσβεις πέμψαντες

Leontinorum belli tempore, & ipſos orabant, ut ſibi miſſa claſſe ſuccurrerent; & cum alia multa dicebant, tum vero, quod caput erat, ſi Syracuſani impune ferrent, quod Leontinos ſuis ſedibus expuliſſent, & ceteris ipſorum Athenienſium ſociis praeterea corruptis ac attritis, ipſi omnem Siciliae potentiam in ſuam poteſtatem redigerent, periculum eſſe, ne forte aliquando cum magno apparatu Dorienſes Dorienſibus, propter cognationem, ſimul etiam coloni Peloponneſiis, a quibus eſſent emiſſi, auxilium ferentes, ipſorum etiam imperium una demolirentur. Prudentium autem eſſe, cum reliquis adhuc ſociis obſiſtere Syracuſanis; praeſertim cum ipſi Egeſtaei ſatis pecuniae ad bellum eſſent collaturi. Quae cum audirent ſaepenumero Athenienſes in concionibus tum ex Egeſtaeorum, tum ex illorum, qui ipſis patrocinabantur, ore; decreverunt, legatis primum

πρῶτον ἐς τὴν Ἔγεσταν, περί τε τῶν χρημάτων σκεψομένους, εἰ ὑπάρχει, ὥσπερ φασίν, ἐν τῷ κοινῷ, καὶ ἐν τοῖς ἱεροῖς, καὶ τὰ τοῦ πολέμου ἅμα πρὸς τοὺς Σελινουντίους, ἐν ὅτῳ ἐστὶν εἰσομένους.

Paullo poſt Octob. 15.

ζ'. Καὶ οἱ μὲν πρέσβεις τῶν Ἀθηναίων ἀπεστάλησαν ἐς τὴν Σικελίαν. Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ χειμῶνος, καὶ οἱ ξύμμαχοι, πλὴν Κορινθίων, στρατεύσαντες ἐς τὴν Ἀργείαν, τῆς τε γῆς ἔτεμον οὐ πολλὴν, καὶ σῖτον ἀνεκόμισαν, τινὰ ζεύγη κομίσαντες, καὶ ἐς Ὀρνεὰς κατοικίσαντες τοὺς Ἀργείων Φυγάδας, καὶ τῆς ἄλλης στρατιᾶς παρακαταλιπόντες αὐτοῖς ὀλίγους. καὶ σπεισάμενοί τινα χρόνον ὥστε μὴ ἀδικεῖν Ὀρνεάτας καὶ Ἀργείους τὴν ἀλλήλων, ἀπεχώρησαν τῷ στρατῷ ἐπ' οἴκου. ἐλθόντων δὲ Ἀθηναίων οὐ πολλῷ ὕστερον ναυσὶ τριάκοντα, καὶ ἑξακοσίοις ὁπλίταις, οἱ Ἀργεῖοι μετὰ

Bell. Pelop. an. 16. Olymp. 91. 1. U. C. Varr. 338. exeunte.

Egeſtam miſſis, explorare, an tantum pecuniae, quantum iactabant, in aerario & in templis haberent, & ſimul cognoſcere, quo in ſtatu eſſet bellum, quod cum Selinuntiis gerebant.

VII. Et legati quidem Athenienſium in Siciliam miſſi fuerunt. Lacedaemonii vero eadem hieme, eorumque ſocii, praeter Corinthios, cum exercitu in agrum Argivum profecti, non magnam agri partem vaſtarunt, & frumenta abſportarunt impoſita quibuſdam plauſtris, quae ſecum adduxerant, & Argivos exſules Orneis collocarunt, & paucos ex reliquo exercitu apud ipſos reliquerunt: initiſque foederibus ad certum tempus, ut per id Orneatae & Argivi ſe invicem non laederent, cum reliquis copiis domum redierunt. Cum autem non multo poſt Athenienſes cum triginta navibus & ſexcentis gravis armaturae mili-

ι Ἀθηναίων παυστρατιᾷ ἐξελθόντων, τοὺς μὲν ἐν Ὀρ-
εῖς μίαν ἡμέραν ἐπολιόρκουν· ὑπὸ δὲ νύκτα αὐλισα-
νου τοῦ στρατεύματος ἄπωθεν, ἐκδιδράσκουσιν οἱ ἐκ τῶν
)ρνεῶν. καὶ τῇ ὑστεραίᾳ οἱ Ἀργεῖοι ὡς ἤσθοντο, κατα-
εάψαντες τὰς Ὀρνεὰς, ἀνεχώρησαν, καὶ οἱ Ἀθηναῖοι
τερον ταῖς ναυσὶν ἐπ' οἴκου. καὶ ἐς Μεθώνην τὴν ὅμορον Bell. Pelop. an. 16. Olymp. 91. 1. U. C. Varr. 339. Ante April. 9.
Ιακεδονίᾳ ἱππέας κατὰ θάλασσαν κομίσαντες Ἀθη-
εῖοι, σφῶν τε αὐτῶν, καὶ Μακεδόνων τοὺς παρὰ σφίσι
υγάδας, ἐκακούργουν τὴν Περδίκκου. Λακεδαιμόνιοι
ε, πέμψαντες παρὰ Χαλκιδέας τοὺς ἐπὶ Θράκης,
γοντας πρὸς Ἀθηναίους δεκημέρους σπονδὰς, ξυμπο-
εμεῖν ἐκέλευον Περδίκκᾳ· οἱ δ' οὐκ ἤθελον. καὶ ὁ χει-
ιὼν ἐτελεύτα· καὶ ἕκτον καὶ δέκατον ἔτος ἐτελεύτα τῷ
τολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

tibus veniſſent, Argivi cum Athenienſibus, omni ſuorum, qui per aetatem arma ferre poterant, exercitu educto, unum quidem diem Orneas oppugnaverunt: ſed cum illi noctu procul caſtra haberent, qui Orneis erant, illinc effugerunt. Quod ubi ſenſere poſtero die Argivi, Orneis ſolo aequatis, redierunt, & mox Athenienſes etiam cum claſſe domum reverterunt. Iidem, cum Methonen Macedoniae finitimam equites mari tranſportaſſent, partim ex ſuis, partim ex Macedonibus apud ſe exſulantibus, Perdiccae regionem maleficiis infeſtabant. Lacedaemonii vero, miſſis nuntiis ad Chalcidenſes, qui erant in Thracia, qui decem dierum inducias cum Athenienſibus habebant, eos ſuis auxiliis Perdiccam in bello contra Athenienſes adiuvare iubebant. At illi noluerunt. Atque haec hiems exiit. Et huius belli, quod Thucydides conſcripſit, decimus ſextus annus exceſſit.

Bell. Pelop. an. 17. Olymp. 91. 1/2. U. C. Varr. 3. 39/40. Mox ab Apr. 10.

η'. Τοῦ δ' ἐπιγιγνομένου θέρους, ἅμα ἦρι, οἱ τῶν Ἀθηναίων πρέσβεις ἦκον ἐκ τῆς Σικελίας, καὶ οἱ Ἐγεσταῖοι μετ' αὐτῶν, ἄγοντες ἑξήκοντα τάλαντα ἀσήμου ἀργυρίου, ὡς ἐς ἑξήκοντα ναῦς μηνὸς μισθὸν, ἃς ἔμελλον δεήσεσθαι πέμπειν. καὶ οἱ Ἀθηναῖοι, ἐκκλησίαν ποιήσαντες, καὶ ἀκούσαντες τῶν τε Ἐγεσταίων καὶ τῶν σφετέρων πρέσβεων τά τε ἄλλα ἐπαγωγὰ καὶ οὐκ ἀληθῆ, καὶ περὶ τῶν χρημάτων, ὡς εἴη ἕτοιμα ἔν τε τοῖς ἱεροῖς πολλὰ καὶ ἐν τῷ κοινῷ, ἐψηφίσαντο ναῦς ἑξήκοντα πέμπειν ἐς Σικελίαν, καὶ στρατηγοὺς αὐτοκράτορας, Ἀλκιβιάδην τε τὸν Κλεινίου, καὶ Νικίαν τὸν Νικηράτου, καὶ Λάμαχον τὸν Ξενοφάνους, βοηθοὺς μὲν Ἐγεσταίοις πρὸς Σελινουντίους, ξυγκατοικίσαι δὲ καὶ Λεοντίνους, ἤν τι περιγίγνηται αὐτοῖς τοῦ πολέμου, καὶ τἆλλα τὰ ἐν τῇ Σικελίᾳ πρᾶξαι ὅπῃ ἂν γιγνώσκωσιν

VIII. Insequenti aestate, vere statim ineunte, Athenienſium legati ex Sicilia redierunt, & Egeſtaei cum ipſis, ferentes ſexaginta talenta argenti non ſignati, menſtruum ſexaginta navium ſtipendium, quae ut mitterentur erant oraturi. Athenienſes autem, advocata concione, auditiſque & Egeſtaeis & ſuis legatis, cum alia dicentibus ad perſuadendum appoſita & falſa, tum vero de pecunia renuntiantibus, multam & in templis & in aerario paratam eſſe, decreverunt ſexaginta naves in Siciliam eſſe mittendas, & duces ſumma poteſtate praeditos, Alcibiadem Cliniae, & Niciam Nicerati, & Lamachum Xenophanis filium, qui opem quidem Egeſtaeis contra Selinuntios ferrent; ſed & Leontinos in ſuis priſtinis ſedibus collocarent, ſi quod temporis ſpatium ad hoc peragendum ipſis in bello ſupereſſet; atque res ceteras in Sicilia perinde gererent,

ιστα Ἀθηναίοις. μετὰ δὲ τοῦτο ἡμέρᾳ πέμπτῃ ἐκκλη-
ς αὖθις ἐγίγνετο, καθότι χρὴ τὴν παρασκευὴν ταῖς
υσὶ τάχιστα γίγνεσθαι, καὶ τοῖς στρατηγοῖς, εἴτου
σδέοιντο, ψηφισθῆναι ἐς τὸν ἔκπλουν. καὶ ὁ Νικίας,
εύσας μὲν ἠρημένος ἄρχειν, νομίζων δὲ τὴν πόλιν οὐκ
ὡς βεβουλεῦσθαι, ἀλλὰ προφάσει βραχείᾳ καὶ
πρεπεῖ, τῆς Σικελίας ἁπάσης, μεγάλου ἔργου, ἐφίε-
θαι, παρελθὼν, ἀποτρέψαι ἐβούλετο, καὶ παρῄνει
ς Ἀθηναίοις τοιάδε.

θ'. Ἡ μεν ἐκκλησία περὶ παρασκευῆς τῆς ἡμε-
ας ἥδε ξυνελέγη, καθότι χρὴ ἐς Σικελίαν ἐκπλεῖν.
ὶ μέντοι δοκεῖ καὶ περὶ αὐτοῦ τούτου ἔτι χρῆναι σκέ-
ισθαι, εἰ ἀμεινόν ἐστιν ἐκπέμπειν τὰς ναῦς, καὶ μὴ
ω βραχείᾳ βουλῇ, περὶ μεγάλων πραγμάτων ἀν-
έσιν ἀλλοφύλοις πειθομένους, πόλεμον οὐ προσήκοντα

reipublicae Athenienſium maxime expedire iudicarent.
iinto poſt haec die concio rurſus advocata fuit, ut in
conſultaretur, qua ratione oporteret quam celerrime
ſſem apparare, & decernere, ſi qua re ducibus ad hanc
peditionem opus eſſet. Nicias autem, cum ſe quidem
:em electum audiſſet, ſed ſuam civitatem non recte de-
viſſe, neque bonum conſilium cepiſſe duceret, ſed exi-
ı & ſpecioſa de cauſa Siciliae totius imperium, rem
uam, affectare, in medium progreſſus, a propoſito re-
care voluit, atque Athenienſibus haec ſuaſit.

IX. *Haec quidem concio de noſtrae claſſis apparatu eſt
ta, quonam modo in Siciliam navigare oporteat. Mihi vero
hoc ipſo rurſus conſultandum videtur, utrum ſatius ſit claſ-
ı emittere, necne; nec tam brevi conſultatione, de rebus ma-
is, fide viris alienigenis habita, bellum ſuſcipiendum, quod ad*

ἄρασθαι. καίτοι ἔγωγε καὶ τιμῶμαι ἐκ τοῦ τοιούτου, καὶ ἧσσον ἑτέρων περὶ τῷ ἐμαυτοῦ σώματι ὀρρωδῶ· νομίζων ὁμοίως ἀγαθὸν πολίτην εἶναι, ὃς ἂν καὶ τοῦ σώματός τι καὶ τῆς οὐσίας προνοῆται. μάλιστα γὰρ ἂν ὁ τοιοῦτος καὶ τὰ τῆς πόλεως δι' ἑαυτὸν βούλοιτο ὀρθοῦσθαι. ὁμῶς δὲ, οὔτε ἐν τῷ πρότερον χρόνῳ διὰ τὸ προτιμᾶσθαι εἶπον παρὰ γνώμην, οὔτε νῦν, ἀλλὰ ἣ ἂν γιγνώσκω βέλτιστα, ἐρῶ. καὶ πρὸς μὲν τοὺς τρόπους τοὺς ὑμετέρους, ἀσθενὴς ἄν μου ὁ λόγος εἴη, εἰ τά τε ὑπάρχοντα σώζειν παραινοίην, καὶ μὴ τοῖς ἑτοίμοις περὶ τῶν ἀφανῶν καὶ μελλόντων κινδυνεύειν. ὡς δὲ οὔτε ἐν καιρῷ σπεύδετε, οὔτε ῥᾴδιά ἐστι κατασχεῖν ἐφ' ἃ ὥρμησθε, ταῦτα διδάξω.

ι'. Φημὶ γὰρ ὑμᾶς πολεμίους πολλοὺς ἐνθάδε ὑπολιπόντας, καὶ ἑτέρους ἐπιβουλεῖν ἐκεῖσε πλεύσαντας,

nos nihil pertineat. Atqui ego quidem ex huiuſmodi re honorem conſequor, & meo ipſius corpori minime omnium timeo. quamquam exiſtimo, pariter bonum eſſe civem, qui & ſibi ipſi & ſuis fortunis proſpicit. Nam huiuſmodi vir & rempublicam, quae ex privatorum rebus conſtat, ſua opera ſalvam eſſe volet. Verum, ut nec unquam ante propter honores mihi delatos quidquam aliter, quam ſentiebam, dixi: ſic ne nunc quidem alia dicam, quam quae optima eſſe ſentio. Quamvis autem apud veſtra ingenia parum ponderis oratio mea ſit habitura, ſi ſuadeam, ut & res praeſentes conſervetis, neve de iis, quae ſunt certa, propter ea, quae incerta dubiaque ſunt, periclitemini: quod tamen neque tempeſtive feſtinetis, neque facile obtineri poſſint ea, ad quae contenditis, haec docebo.

X. Etenim dico, vos, multis hoſtibus hic relictis, alios etiam, illuc traiicientes, cupere huc attrahere. Sed fortaſſe putatis, ſoe-

ρο ἐπαγαγέσθαι. καὶ οἴεσθε ἴσως τὰς γενομένας
ν σπονδὰς ἔχειν τὶ βέβαιον, αἱ ἡσυχαζόντων μὲν
ῶν, ὀνόματι σπονδαὶ ἔσονται. οὕτω γὰρ ἐνδένδε τε ἂν-
ς ἔπραξαν αὐτὰς, καὶ ἐκ τῶν ἐναντίων σφαλέντων
υ ἀξιόχρεῳ δυνάμει, ταχεῖαν τὴν ἐπιχείρησιν ἡμῖν οἱ
ῥοὶ ποιήσονται, οἷς πρῶτον μὲν διὰ ξυμφορῶν ἡ ξύμ-
σις, καὶ ἐκ τοῦ αἰσχίονος ἢ ἡμῖν, κατ' ἀνάγκην ἐγέ-
ὸ' ἔπειτα ἐν αὐτῇ ταύτῃ πολλὰ τὰ ἀμφισβητούμενα
μεν. εἰσὶ δ' οἳ οὐδὲ ταύτην πω τὴν ὁμολογίαν ἐδέξαν-
καὶ οὐχ οἱ ἀσθενέστατοι, ἀλλ' οἱ μὲν ἄντικρυς πο-
ιοῦσιν, οἱ δὲ, καὶ διὰ τὸ Λακεδαιμονίους ἔτι ἡσυχά-
, δεχημέροις σπονδαῖς καὶ αὐτοὶ ἔτι κατέχονται. τα-
δ' ἂν ἴσως εἰ δίχα ἡμῶν τὴν δύναμιν λάβοιεν, (ὅπερ
σπεύδομεν) καὶ πάνυ ἂν ξυνεπίθοιντο μετὰ Σικε-
ιτῶν, οὓς πρὸ πολλῶν ἂν ἐτιμήσαντο ξυμμάχους
ίσι γενέσθαι ἐν τῷ πρὶν χρόνῳ. ὥστε χρὴ σκοπεῖν

i, quae iniſtis, aliquid firmitudinis habitura; quae quidem
o tenus, dum vos nihil movebitis, foedera erunt: (ſic enim
lam ex noſtris atque ex adverſariis, re tranſacta, ea fecc-
t) ſed ſi quis iuſtus exercitus noſter aliquam cladem accipiat,
es celeriter nos invadent. Nam primum quidem propter clades,
ceſſitatis coacti, cum maiore, quam nos, dedecore compo-
nem fecerunt. Deinde vero in hac ipſa compoſitione multas
troverſias habemus. Praeterea ſunt etiam, qui ne has quidem
ſiones admittere voluerunt, iique non infirmiſſimi: ſed eorum
quidem palam bellum gerunt; alii vero, quod Lacedaemonii
uc quieſcant, ipſi quoque decem dierum induciis, in officio
iuc continentur. Sed fortaſſe, ſi noſtras opes diſtractas acce-
int, (id, quod nunc urgemus) vel libentiſſime nos adorientur
a cum Sicilienſibus, quorum ſocietatem ſibi adiunctam antea

τινα αὐτὰ, καὶ μὴ μετεώρῳ τε πόλει ἀξιοῦν κινδυνεύειν, καὶ ἀρχῆς ἄλλης ὀρέγεσθαι, πρὶν ἣν ἔχομεν βεβαιωσώμεθα, εἰ Χαλκιδεῖς γε οἱ ἐπὶ Θράκης ἔτη τοσαῦτα ἀφεστῶτες ἡμῶν, ἔτι ἀχείρωτοί εἰσι, καὶ ἄλλοι τινὲς κατὰ τὰς ἠπείρους, ἐνδοιαστῶς ἀκροῶνται. ἡμεῖς δὲ Ἐγεσταίοις δὴ οὖσι ξυμμάχοις, ὡς ἀδικουμένοις ὀξέως βοηθοῦμεν· ὑφ' ὧν δ' αὐτῶν πάλαι ἀφεστώτων ἀδικούμεθα, ἔτι μέλλομεν ἀμύνεσθαι.

ια'. Καίτοι τοὺς μὲν, κατεργασάμενοι, κἂν κατάσχοιμεν, τῶν δ' εἰ καὶ κρατήσαιμεν, διὰ πολλοῦ γε καὶ πολλῶν ὄντων, χαλεπῶς ἂν ἄρχειν δυναίμεθα. ἀνόητον δ' ἐπὶ τοιούτους ἰέναι, ὧν κρατήσας τε μὴ καταισχήσει τὶς, καὶ μὴ κατορθώσας, μὴ ἐν τῷ ὁμοίῳ καὶ πρὶν ἐπι-

plurimi aeſtimaſſent. Quamobrem haec nobis ſunt perpendenda; neque committendum, ut ſuſpenſis noſtrae reipublicae rebus pericula ſubeamus, & aliud imperium affectemus, priuſquam id, quod habemus, ſtabiliverimus. Si quidem Chalcidenſes, qui ſunt in Thracia, quamvis tot annos a nobis iam defecerint, tamen in noſtram poteſtatem nondum ſunt redacti; & alii nonnulli in variis continentis partibus, dubie parent. Nos vero nunc Egeſtaeis ſociis, ut iniuriam paſſis, praecipitanter ſuccurrimus. A quibus autem, propter defectionem iampridem a nobis factam, violamur, illos vero ulciſci adhuc cunctamur.

XI. *Atqui hos quidem Chalcidenſes, ſi eos in noſtram poteſtatem redegerimus, facile retinere poterimus. His vero, quamvis eos ſubegerimus, quia tamen longo intervallo diſtant, ſimul etiam quia permulti ſunt, aegre poterimus imperare. Amentia vero fuerit bellum illis inferre, quos, ſi viceris, in poteſtate tua retinere nequeas, &, niſi rem feliciter geſſeris, eandem illos invadendi facultatem, quam prius, non ſis habiturus. Siculenſes enim, ut*

ειρῆσαι ἔσται. Σικελιῶται δ' ἄν μοι δοκοῦσιν, ὡς γε
ν ἔχουσι, καὶ ἔτι ἂν ἧσσον δεινοὶ ἡμῖν γενέσθαι, εἰ ἄρ-
ιαν αὐτῶν Συρακούσιοι· ὅπερ οἱ Ἐγεσταῖοι μάλιστα
λᾶς ἐκφοβοῦσι. νῦν μὲν γὰρ κἂν ἔλθοιεν ἴσως Λακε-
ιμονίων ἕκαστοι χάριτι, ἐκείνως δ' οὐκ εἰκὸς ἀρχὴν
τι ἀρχὴν στρατεῦσαι. ᾧ γὰρ ἂν τρόπῳ τὴν ἡμετέραν
ετὰ Πελοποννησίων ἀφέλωνται, εἰκὸς ὑπὸ τῶν αὐτῶν
αὶ τὴν σφετέραν διὰ τοῦ αὐτοῦ καθαιρεθῆναι· ἡμᾶς δ'
ν οἱ ἐκεῖ Ἕλληνες μάλιστα μὲν ἐκπεπληγμένοι εἶεν,
μὴ ἀφικοίμεθα, ἔπειτα δὲ καὶ εἰ δείξαντες τὴν δύνα-
ιν, δι' ὀλίγου ἀπέλθοιμεν· εἰ δὲ σφαλείημέν τι, τά-
ιστ' ἂν ὑπεριδόντες, μετὰ τῶν ἐνθάδε ἐπίθοιντο. τὰ γὰρ
ὰ πλείστου πάντες ἴσμεν θαυμαζόμενα, καὶ τὰ πεῖ-
ιν ἥκιστα τῆς δόξης ὄντα. ὅπερ νῦν ὑμεῖς, ὦ Ἀθηναῖοι,

unc ſaltem ſe habent, mihi videntur parum formidabiles, mul-
que minus nobis formidabiles fore, ſi Syracuſani ipſis impe-
nt: qua re potiſſimum Egeſtaei nos territant. Nunc enim for-
ſſe ſinguli facile veniant, ut Lacedaemoniorum gratiam ſibi con-
lient: at illo modo, ſi videlicet a Syracuſanis ſubacti fuerint,
:riſimile non eſt, fore, ut imperium recens partum, imperio rei-
ublicae, quae floret opibus, bellum inferat. Quo enim modo cum
'eloponneſiis ipſi noſtrum imperium nobis eripuerint, veriſimile
l, ab iiſdem Peloponneſiis ipſorum etiam imperium eodem modo
:erſum iri. Porro Graeci, qui illic ſunt, primum quidem maxi-
e nos extimeſcent, ſi eo non tranſmiſerimus; deinde vero, ſi,
ſtentatis noſtris opibus, ſtatim illinc diſceſſerimus: ſed ſi quam
ladem acceperimus, illi celerrime nobis contemtis, una cum illis
Graecis, qui hic ſunt, nos adorientur. Quae enim a nobis lon-
giſſime diſtant, & quae opinionis, quam homines de ipſorum vir-
tute conceperunt, nullum ſpecimen dederunt, omnes haec admi-

ἐς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους πεπόνθατε, διὰ τὸ παρὰ γνώμην αὐτῶν πρὸς ἃ ἐφοβεῖσθε τοπρῶτον, περιγεγενῆσθαι, καταφρονήσαντες, ἤδη καὶ Σικελίας ἐφίεσθε. χρὴ δὲ μὴ πρὸς τὰς τύχας τῶν ἐναντίων ἐπαίρεσθαι, ἀλλὰ τὰς διανοίας κρατήσαντας, θαρρεῖν· μηδὲ Λακεδαιμονίους ἄλλο τι ἡγήσασθαι ἢ διὰ τὸ αἰσχρὸν σκοπεῖν, ὅτῳ τρόπῳ ἔτι καὶ νῦν ἣν δύνωνται σφήλαντες ἡμᾶς τὸ σφέτερον ἀπρεπὲς εὖ θήσονται· ὅσῳ δὲ καὶ περὶ πλείστου, καὶ διὰ πλείστου, δόξαν ἀρετῆς μελετῶσιν. ὥστε οὐ περὶ τῶν ἐν Σικελίᾳ Ἐγεσταίων ἡμῖν ἀνδρῶν βαρβάρων ὁ ἀγὼν, εἰ σωφρονοῦμεν, ἀλλ' ὅπως πόλιν δι' ὀλιγαρχίας ἐπιβουλεύουσαν, ὀξέως φυλαξώμεθα.

ιβ'. Καὶ μεμνῆσθαι χρὴ ἡμᾶς, ὅτι νεωστὶ ἀπὸ νόσου μεγάλης καὶ πολέμου βραχύ τι λελωφήκαμεν, ὥστε

rationi esse scimus. Id quod nunc vobis, Athenienses, erga Lacedaemonios, eorumque socios accidit, qui, quoniam praeter opinionem ipsos superastis, in illis rebus bellicis scilicet, in quibus ipsos antea formidabatis, iam illis contemtis, Siciliam etiam affectatis. Atqui propter adversariorum casus animos extollere non oportet; sed animos cohibendo, confidere: neque oportet existimare, Lacedaemonios aliud quidquam facere, quam propter acceptae cladis ignominiam speculari, quanam ratione, vel nunc quoque si possint, labefactatis nobis, suam ignominiam deleant. Quo autem studiosius, & quo diutius virtutis laudem sese exercentes venantur, eo etiam magis existimandum est, eos id agere. Quare non de Egestaeis, viris barbaris, qui sunt in Sicilia, nobis est certamen, si sapimus: sed hac de re, ut civitatem, quae per oligarchiam nostrae reipublicae, quae populari statu regitur, insidiatur, celeriter caveamus.

XII. *Debemus autem meminisse, nos nuper e gravi morbo &*

καὶ χρήμασι καὶ τοῖς σώμασιν ηὐξῆσθαι· καὶ ταῦτα ὑπὲρ ἡμῶν δίκαιον ἐνθάδε [εἶναι] ἀναλοῦν, καὶ μὴ ὑπὲρ ἀνδρῶν φυγάδων τῶνδε, ἐπικουρίας δεομένων, οἷς τό, τε ψεύσασθαι καλῶς χρήσιμον, καὶ τῷ τοῦ πέλας κινδύνῳ, αὐτοὺς λόγους μόνον παρασχομένους, ἢ κατορθώσαντας, χάριν μὴ ἀξίαν εἰδέναι, ἢ πταίσαντάς που τοὺς φίλους ξυναπολέσθαι. εἴτε τις ἄρχειν ἄσμενος αἱρεῖ, παραινεῖ ὑμῖν ἐκπλεῖν, τὸ ἑαυτοῦ μόνον σκοπῶν, ἄλλως τε καὶ νεώτερος ὢν [ἔτι] ἐς τὸ ἄρχειν, ὅπως θαυμασθῇ μὲν ἀπὸ τῆς ἱπποτροφίας, δία δὲ πολυτέλειαν, καὶ ὠφεληθῇ τι ἐκ τῆς ἀρχῆς· μηδὲ τούτῳ ἐμπαράσχητε, τῷ τῆς πόλεως κινδύνῳ ἰδίᾳ ἐλλαμπρύνεσθαι. νομίσατε δὲ τοὺς τοιούτους τὰ μὲν δημόσια ἀδικεῖν, τὰ δὲ ἴδια ἀναλοῦν· καὶ τὸ πρᾶγμα μέγα εἶναι,

llo paululum esse recreatos, ita ut & pecuniae vi & hominum umero auxili simus: & aequum esse, haec pro nobis ipsis hic impendi, non autem pro istis viris exsulibus, qui nostrum auxilium nplorant, quibus & pulchre mentiri conducit, & aliorum periculum, cum ipsi nihil nisi verba tantum afferant, aut re feliciter ge- e meritam gratiam nobis non habere, aut aliqua clade accepta nicos in perniciem secum trahere. Quod si quis lubens creatus nperator, vos ad hanc navalem expeditionem hortatur, suarum ntum rerum rationem habens, praesertim si propter iuniorem- tatem imperio gerendo sit adhuc impar, ut propter sumtus quim, quos in alendis equis facit, ab omnibus suspiciatur, proer magnitudinem vero sumtuum aliquem fructum ex hoc impero percipiat; ne huic quidem permittatis, ut reipublicae periculo ivatim fiat illustris. Existimate vero, huiusmodi cives rem quim publicam laedere, rem vero privatam absumere. Praeterea

καὶ μὴ οἷον νεωτέρῳ βουλεύσασθαί τε, καὶ ὀξέως μεταχειρίσαι.

ιγ'. Οὓς ὁρῶν ἐγὼ νῦν ἐνθάδε τῷ αὐτῷ ἀνδρὶ παρακελευστοὺς καθημένους, φοβοῦμαι, καὶ τοῖς πρεσβυτέροις ἀντιπαρακελεύομαι, μὴ καταισχυνθῆναι εἴτῳ τὶς παρακάθηται τῶνδε, ὅπως μὴ δόξῃ, ἂν μὴ ψηφίζηται πολεμεῖν, μαλακὸς εἶναι· μηδ' ὅπερ ἂν αὐτοὶ πάθοιεν, δυσέρωτας εἶναι τῶν ἀπόντων, γνόντας ὅτι ἐπιθυμίᾳ μὲν ἐλάχιστα κατορθοῦνται, προνοίᾳ δὲ, πλεῖστα· ἀλλ' ὑπὲρ τῆς πατρίδος, ὡς μέγιστον δὴ τῶν πρὶν κίνδυνον ἀναῤῥιπτούσης, ἀντιχειροτονεῖν, καὶ ψηφίζεσθαι τοὺς μὲν Σικελιώτας οἵσπερ νῦν ὅροις χρωμένους πρὸς ὑμᾶς οὐ μεμπτοῖς, τῷ τε Ἰονίῳ κόλπῳ παρὰ γῆν, ἢν τις πλέῃ, καὶ τῷ Σικελικῷ διὰ πελάγους τὰ αὑτῶν νεμομένους, καθ' αὑτοὺς καὶ ξυμφέρεσθαι. τοῖς δ' Ἐγε-

hoc negotium arduum esse, nec de quo adolescens consulteare, quodque facile tractare possit.

XIII. *Quos cum ego nunc hic eidem viro advocatos assidere videam, metuo, & vicissim ipse quoque seniores hortor, ne, si quis ipsorum alicui horum assidet, a sententia libere dicenda pudore deterreatur, ne videatur ignavus esse, nisi bellum suo suffragio comprobarit. Ac eosdem hortor, ne eodem morbo laborent, quo ipsi adolescentes, ut absentes perdite ament, (cum sciant, cupiditate quidem, res pauciſſimas; providentia vero, plurimas feliciter geri) sed pro patria, quae maximum omnium superiorum periculum iam subit, sententias contrarias ferant, ac decernant, ut Siciliensis quidem iisdem finibus utentes, quibus nunc utuntur, de quibus non est quod apud vos querantur, (Ionico videlicet sinu, si quis navigando terram legat; & Siculo, si quis per altum feratur) sua possidentes, res item suas inter se com-*

ταίοις ἰδίᾳ εἰπεῖν, ἐπειδὴ ἄνευ Ἀθηναίων καὶ ξυνήψαν
ρὸς Σελινουντίους τὸν πρῶτον πόλεμον, μετὰ σφῶν αὐ-
ῶν καὶ καταλύεσθαι. καὶ τολοιπὸν ξυμμάχους μὴ
οιεῖσθαι (ὥσπερ εἰώθαμεν) οἷς κακῶς μὲν πράξασιν
μνοῦμεν, ὠφελείας δ' αὐτοὶ δεηθέντες, οὐ τευξόμεθα.

ιδ'. Καὶ σὺ, ὦ Πρύτανι, ταῦτα (εἴπερ ἡγῇ σοι προσή-
ειν κήδεσθαί τε τῆς πόλεως, καὶ βούλει γενέσθαι πο-
ίτης ἀγαθὸς) ἐπιψήφιζε, καὶ γνώμας προτίθει αὖθις
Ἀθηναίοις, νομίσας, εἰ ὀρρωδεῖς τὸ ἀναψηφίσαι, τὸ μὲν
ύειν τοὺς νόμους, μὴ μετὰ τοσῶνδ' ἂν μαρτύρων αἰτίαν
χεῖν, τῆς δὲ πόλεως [κακῶς] βουλευσαμένης ἰατρὸς ἂν
ενέσθαι, καὶ τὸ καλῶς ἄρξαι τοῦτ' εἶναι, ὃς ἂν τὴν πα-
ίδα ὠφελήσῃ ὡσπλεῖστα, ἢ ἐκὼν εἶναι μηδὲν βλάψῃ.

nant. Item hortor, ut Egeſtaeis ſeparatim reſpondeamus, ut;
andoquidem ſine Athenienſibus primum bellum ipſi ſua ſponte
ntra Selinuntios ſuſceperunt, id etiam ipſi ſua ſponte deponant.
ec poſthac ſocietatem (quemadmodum conſuevimus) cum iis fa-
amus, quibus calamitate quidem preſſis auxilium feramus, ſed
nos ipſi auxilio indigeamus, impetraturi non ſimus.

XIV. *Tu vero Prytani, Senatus praeſes, (ſi modo hoc ad*
unus tuum pertinere ducis, curare ne quid reſpublica detrimenti
piat, & ſi bonus civis eſſe vis) haec, quae dico, de conſilii ſen-
ntia confirma, & Athenienſes de his iterum ſententias roga, per-
taſum habens, ſi plebiſcitum reſcindere, & rem ad ſuffragia re-
ocare, atque ſententias iterum rogare reformidas, tibi, ſiquidem
leges ſolvantur, in tanta teſtium frequentia rem iſtam crimini
atum non iri; ſed te civitatis, quae malum conſilium ceperit,
edicum fore: atque id demum eſſe, recte magiſtratu fungi, ſi
atriam quam plurimis beneficiis affeceris, aut ſaltem opera de-
ita nullum detrimentum ei attuleris.

ιε'. Ὁ μὲν Νικίας τοιαῦτα εἶπε. τῶν δὲ Ἀθηναίων παριόντες οἱ μὲν πλεῖστοι, στρατεύειν παρῄνουν, καὶ τὰ ἐψηφισμένα μὴ λύειν· οἱ δέ τινες καὶ ἀντέλεγον. ἐνῆγε δὲ προθυμότατα τὴν στρατείαν Ἀλκιβιάδης ὁ Κλεινίου, βουλόμενος τῷ τε Νικίᾳ ἐναντιοῦσθαι, ὢν καὶ ἐς τὰ ἄλλα διάφορος τὰ πολιτικὰ, καὶ ὅτι αὐτοῦ διαβόλως ἐμνήσθη, καὶ μάλιστα στρατηγῆσαί τε ἐπιθυμῶν, καὶ ἐλπίζων Σικελίαν τε δι' αὐτοῦ καὶ Καρχηδόνα λήψεσθαι· καὶ τὰ ἴδια ἅμα εὐτυχήσας, χρήμασί τε καὶ δόξῃ ὠφελήσειν. ὢν γὰρ ἐν ἀξιώματι ὑπὸ τῶν ἀστῶν, ταῖς ἐπιθυμίαις μείζοσιν ἢ κατὰ τὴν ὑπάρχουσαν οὐσίαν ἐχρῆτο, ἔς τε τὰς ἱπποτροφίας καὶ τὰς ἄλλας δαπάνας· ὅπερ καὶ καθεῖλεν ὕστερον τὴν τῶν Ἀθηναίων πόλιν οὐχ ἥκιστα. φοβηθέντες γὰρ αὐτοῦ οἱ πολλοὶ τὸ μέγε-

XV. Atque Nicias quidem haec verba fecit. Athenienſium vero plerique, qui poſt Niciam in medium proceſſerunt, hanc expeditionem ſuſcipiendam cenſebant, nec ea reſcindenda, quae decreta eſſent. Nonnulli etiam contradicebant, eamque diſſuadebant. Hanc autem expeditionem ſummo ſtudio urgebat Alcibiades Cliniae filius, quod Niciae adverſari cuperet, tum quod ei aliis etiam in rebus ad reipublicae adminiſtrationem pertinentibus adverſarius eſſet, tum quod Nicias ſui mentionem criminoſe feciſſet, tum etiam praecipue quod imperator eſſe cuperet, & ſe, ſi imperium gereret, Siciliam atque Carthaginem capturum ſperaret: ſimul etiam ſe, ſi rem feliciter geſſiſſet, rem privatam & pecunia & gloria amplificaturum. Cum enim auctoritate inter ſuos cives emineret, maiora appetebat, quam ferre poſſent eius facultates, cum in alendis equis, tum in aliis ſumtibus faciendis. Quod etiam poſtea rem-

· τῆς τε κατὰ τὸ ἑαυτοῦ σῶμα παρανομίας ἐς τὴν
ιταν, καὶ τῆς διανοίας, ὧν καθ' ἓν ἕκαστον ἐν ὅτῳ
γνοιτο ἔπρασσεν, ὡς τυραννίδος ἐπιβουλοῦντι πολέμιοι
:βέστασαν. καὶ δημοσίᾳ κράτιστα διαβέντα τὰ τοῦ
ιλέμου, ἰδίᾳ ἕκαστοι τοῖς ἐπιτηδεύμασιν αὐτοῦ ἀχθε-
θέντες, καὶ ἄλλοις ἐπιτρέψαντες, οὐ διὰ μακροῦ ἔ-
ζηλαν τὴν πόλιν. τότε δ' οὖν παρελθὼν, τοῖς Ἀθηναίοις
ερήνει τοιάδε.

ιστ'. Καὶ προσήκει μοι μᾶλλον ἑτέρων, ὦ Ἀθηναῖοι,
χειν (ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου
ιτίας καθήψατο) καὶ ἄξιος ἅμα νομίζω εἶναι. ὧν γὰρ
οι ἐπιβόητός εἰμι, τοῖς μὲν προγόνοις μου καὶ ἐμοὶ δό-
ν φέρει ταῦτα, τῇ δὲ πατρίδι καὶ ὠφέλειαν. οἱ γὰρ
λληνες καὶ ὑπὲρ δύναμιν μείζω ἡμῶν τὴν πόλιν ἐνόμι-

blicam Athenienſium potiſſimum evertit. Multi enim
:tuentes eum propter corporis cultum, victuſque lauti-
m, qua praeter modum & praeter patrium inſtitutum
:batur, metuentes etiam animi magnitudinem in ſingulis
ous, quaſcunque gerendas ſuſcepiſſet, ab eo, ut tyran-
:em affectante, prorſus alienati ſunt. Quamvis autem
blice res bellicas praeclariſſime adminiſtraſſet, privatim
nen ſinguli ſtudiis eius infenſi, aliiſque rerum bellica-
n adminiſtratione commiſſa, non multo poſt rempubli-
m everterunt. Tunc igitur Alcibiades in medium pro-
eſſus, haec Athenienſibus ſuaſit.

XVI. *Ego vero, Athenienſes, aio, & imperium ad me ma-*
, quam ad ullos alios pertinere, (hinc enim me dicendi initium
:ere eſt neceſſe, quia Nicias me perſtrinxit) & ſimul me di-
um hoc eſſe cenſeo. Nam ea, propter quae ſum celebris, ma-
ibus quidem meis & mihi ipſi gloriam; patriae vero, utilita-

σαν, τῷ ἐμῷ διαπρεπεῖ τῆς Ὀλυμπίαζε θεωρίας, πρότερον ἐλπίζοντες αὐτὴν καταπεπολεμῆσθαι· διότι ἅρματα μὲν ἑπτὰ καθῆκα, ὅσα οὐδείς πω ἰδιώτης πρότερον, ἐνίκησα δὲ, καὶ δεύτερος καὶ τέταρτος ἐγενόμην, καὶ τἆλλα ἀξίως τῆς νίκης παρεσκευασάμην. νόμῳ μὲν γὰρ, τιμὴ τὰ τοιαῦτα, ἐκ δὲ τοῦ δρωμένου, καὶ δύναμις ἅμα ὑπονοεῖται. καὶ ὅσα αὖ ἐν τῇ πόλει χορηγίαις, ἢ ἄλλῳ τῳ λαμπρύνομαι, τοῖς μὲν ἀστοῖς φθονεῖται φύσει, πρὸς δὲ τοὺς ξένους καὶ αὐτὴ ἰσχὺς φαίνεται. καὶ οὐκ ἄχρηστος ἥδ' ἡ ἄνοια, ὃς ἂν τοῖς ἰδίοις τέλεσι μὴ ἑαυτὸν μόνον, ἀλλὰ καὶ τὴν πόλιν ὠφελῇ. οὐδέ γε ἄδικον, ἐφ' ἑαυτῷ μέγα φρονοῦντα μὴ ἴσον εἶναι. ἐπεὶ καὶ ὁ κακῶς πράσσων, πρὸς οὐδένα τῆς ξυμφορᾶς ἰσομοιρεῖ.

tem etiam afferunt. Graeci enim propter apparatus ſplendorem, quo ego ad ludos Olympiacos adii, noſtram rempublicam vel longe potentiorem, quam ſit re ipſa, eſſe iudicarunt, cum ipſam prius d.bellatam eſſe crederent: quia ſeptem currus dimiſi, quos nullus privatus unquam ante, & victor exſtiti, & ſecunda & quarta praemia tuli, & ceteras apparavi pro victoriae dignitate. Haec enim & legitimum habent honorem, & ex iis, quae in huiuſmodi magnificis apparatibus fiunt, ſimul etiam noſtrae reipublicae potentia ſuſpicione & coniectura cognoſcitur. Reliquus etiam meus domeſticus ſplendor in publicis ſumtibus, aliiſve rebus, mihi quidem apud meos cives invidiam natura parit: ſed apud exteras gentes & ipſe potentiae opinionem parit. Neque vero incommodum eſt hoc hominis propoſitum, quiſquis ſuis ſumtibus non ſolum de ſe ipſo, ſed etiam de ſua patria bene meretur. Neque etiam iniquum eſt, ſi quis propter ſe ipſum, ac propter ſuas virtutes, de ſe ipſo magnifice ſentiens, ceteris par eſſe nolit: ſiquidem & is, qui premitur adverſa fortuna, nullum habet

ὥσπερ δυστυχοῦντες οὐ προσαγορευόμεθα, ἐν τῷ
ὸ τὶς ἀνεχέσθω καὶ ὑπὸ τῶν εὐπραγούντων ὑπερ-
ύμενος· ἢ τὰ ἴσα νέμων, τὰ ὅμοια ἀνταξιούτω. οἶδα
ὺς τοιούτους, καὶ ὅσοι ἔν τινος λαμπρότητι προέσχον,
ν τῷ καθ' αὑτοὺς βίῳ λυπηροὺς ὄντας, τοῖς ὁμοίοις
άλιστα, ἔπειτα δὲ, καὶ τοῖς ἄλλοις ξυνόντας· τῶν
ειτα ἀνθρώπων προσποίησίν τε ξυγγενείας τισὶ,
ὴ οὖσαν, καταλιπόντας, καὶ ἧς ἂν ὦσι πατρίδος,
ἢ αὔχησιν, ὡς οὐ περὶ ἀλλοτρίων, οὐδ' ἁμαρτόντων,
ὡς περὶ σφετέρων τε καὶ καλὰ πραξάντων. ὧν
ὁρεγόμενος, καὶ διὰ ταῦτα τὰ ἴδια ἐπιβοώμενος,
ημόσια σκοπεῖτε εἴτου χεῖρον μεταχειρίζω. Πελο-
ίσου γὰρ τὰ δυνατώτατα ξυστήσας ἄνευ μεγά-
ὑμῖν κινδύνου καὶ δαπάνης, Λακεδαιμονίους ἐς μίαν

calamitatis ſocium. ſed quemadmodum cum calamitatibus
mur, ab aliis ne ſalutamur quidem, ſed ab omnibus con-
mur; ſic etiam quilibet de illis a fortunatis beatiſque viris
:iſſim contemni patiatur: aut idem aliis tribuens, idem ab
repetat. Scio autem, huiuſmodi homines, qui magnifice de ſe
nt, & alios, quotquot in alicuius rei ſplendore antecellunt,
diu quidem vivunt, invidia premi, praecipue quidem a pa-
; deinde vero & ab aliis, quibuſcum verſantur: poſteris ve-
mmam admirationem relinquere, ita ut eorum nonnulli ius
utionis ſibi vindicent, licet nulla cognatione cum illis ſint
nſli; & patriae, unde ſunt oriundi, gloriationem, non quaſt
ſenigenis, aut iis, qui flagitioſe vixerint, ſed ut de ſuis, &
es praeclaras geſſerint. Quarum rerum cum ego ſim deſide-
aptus, & propter has res privatas ſim celebris, videte iam,
leterius ullo alio rempublicam adminiſtrem. Cum enim poten-
tarum Peloponneſi civitatum amicitiam ſine magno aut pe-

ἡμέραν κατέστησα ἐν Μαντινείᾳ περὶ τῶν ἁπάντων ἀγωνίσασθαι. ἐξ οὗ καὶ περιγενόμενοι τῇ μάχῃ, οὐδέπω καὶ νῦν βεβαίως θαρσοῦσι.

ιζ'. Καὶ ταῦτα ἡ ἐμὴ νεότης καὶ ἄνοια παρὰ φύσιν δοκοῦσα εἶναι, ἐς τὴν Πελοποννησίων δύναμιν λόγοις τε πρέπουσιν ὡμίλησε, καὶ ὀργῇ πίστιν παρασχομένη, ἔπεισε καὶ νῦν μὴ πεφοβῆσθαι αὐτήν. ἀλλ' ἕως ἐγώ τε ἔτι ἀκμάζω μετ' αὐτῆς, καὶ ὁ Νικίας εὐτυχὴς δοκεῖ εἶναι, ἀποχρήσασθε τῇ ἑκατέρου ἡμῶν ὠφελείᾳ. καὶ τὸν ἐς τὴν Σικελίαν πλοῦν μὴ μεταγιγνώσκητε, ὡς ἐπὶ μεγάλην δύναμιν ἐσόμενον. ὄχλοις τε γὰρ ξυμμίκτοις πολυανδροῦσιν αἱ πόλεις, καὶ ῥᾳδίας ἔχουσι τῶν πολιτειῶν τὰς μεταβολὰς, καὶ ἐπιδοχάς. καὶ οὐδεὶς ὅτι αὐτὸ, ὡς περὶ οἰκείας πατρίδος, οὔτε τὰ περὶ τὸ σῶμα

riculo aut ſumtu vobis conciliarim, Lacedæmonios uno die de ſumma rerum ſuarum ad Mantineam decernere coëgi. Quo ex proelio licet victores diſceſſerint, tamen ne nunc quidem ſuis rebus plane confidunt.

XVII. *Haec autem mea iuventus, & amentia, quae praeter naturam videtur eſſe, apud potentiſſimas Peloponneſiorum civitates verbis decentibus utens, & familiariter cum ipſis agens, haec tranſegit, & animi impetu fidem faciens, effecit, ut ne nunc quidem haec amentia vobis ſit extimeſcenda. Verum quamdiu cum hac amentia ego floreo, & Nicias felix videtur eſſe, utriuſque noſtrûm commodo libere utamini: neque ſententiam de expeditione in Siciliam facienda revocetis, quaſi adverſus magnam potentiam ſit futura. Nam urbes varia advenarum colluvie ſunt frequentes, & ſuum ſtatum facile mutant, & peregrinos recipiunt. Atque hac ipſa de cauſa nullus ipſorum tanquam pro ſua patria, aut armis ad ſuum corpus protegendum neceſſariis eſt inſtructus,*

οις ἐξήρτυται, οὔτε τὰ ἐν τῇ χώρᾳ νομίμοις καταιαῖς· ὅ, τι δὲ ἕκαστος ἢ ἐκ τοῦ λέγων πείθειν οἴεται, τασιάζων ἀπὸ τοῦ κοινοῦ λαβὼν, ἄλλην γῆν μὴ ορθώσας οἰκήσειν, ταῦτα ἑτοιμάζεται. καὶ οὐκ εἰκὸς τοιοῦτον ὅμιλον οὔτε λόγου μιᾷ γνώμῃ ἀκροᾶσθαι, ἐς τὰ ἔργα κοινῶς τρέπεσθαι· ταχὺ δ' ἂν ὡς ἕκα-, εἴτι καθ' ἡδονὴν λέγοιτο, προσχωροῖεν· ἄλλως τε εἰ στασιάζουσιν, ὥσπερ πυνθανόμεθα. καὶ μὴν οὐδ' ἴται οὔτ' ἐκείνοις ὅσοι περικομποῦνται, οὔτε οἱ ἄλλοι ληνες διεφάνησαν τοσοῦτοι ὄντες, ὅσοι ἕκαστοι σφᾶς οὺς ἠρίθμουν, ἀλλὰ μέγιστον δὴ αὐτοὺς ἐψευσμένη λλὰς, μόλις ἐν τῷδε τῷ πολέμῳ ἱκανῶς ὡπλίσθη. τε οὖν ἐκεῖ, ἐξ ὧν ἐγὼ ἀκοῇ αἰσθάνομαι, τοιαῦτα, ἔτι εὐπορώτερα ἔσται. βαρβάρους τε γὰρ πολλοὺς

in ipſa regione uſitatis apparatibus. Quidquid autem unuſ-
que ſperat, ſe vel dicendo ac perſuadendo impetraturum, vel
ione a ſe excitata ex aerario rapturum, &, niſi rem feli-
geſſerit, ſe ſolum eſſe verſurum, hoc ſibi comparat. Neque
imile eſt, huiuſmodi turbam aut unanimi conſenſu verba rectè
entium audire, aut communiter ad res gerendas ſe convertere.
riter aut ſinguli Siciliae populi, ſi quid dicatur, quod ipſis
gratum, ſe nobis dedent; praeſertim ſi ſeditione laborant,
nadmodum audimus. Quin etiam neque tot gravis armaturae
es illis ſunt, quot inflatius ab ipſis praedicantur; neque etiam
os Graecos tot eſſe conſtat, quot ſinguli ſe ipſos eſſe iacta-
. Sed Graecia, quae plurimum ipſos barbaros falſa ſuae mul-
finis praedicatione iam fefellit, vix tandem in hoc bello iu-
n militum graviter armatorum numerum habere coepit. Rerum
ur illarum ſtatus, quantum ego ſentio ex illis, quae audivi,
s eſt, quin etiam longe facilior erit. Nam & barbaros multos

ἔξομεν, εἰ Συρακουσίων μίσει ξυνεπιθήσονται αὐτοῖς· καὶ τὰ ἐνθάδε οὐκ ἐπικωλύσει, ἢν ὑμεῖς ὀρθῶς βουλεύησθε. οἱ γὰρ πατέρες ἡμῶν τοὺς αὐτοὺς τούτους οὕσπερ νῦν φασὶ πολεμίους ὑπολιπόντας ἂν ἡμᾶς πλεῖν, καὶ πρσέτι τὸν Μῆδον ἐχθρὸν ἔχοντες, τὴν ἀρχὴν ἐκτήσαντο, οὐκ ἄλλῳ τινὶ ἢ τῇ περιουσίᾳ τοῦ ναυτικοῦ ἰσχύοντες. καὶ νῦν οὔτε ἀνέλπιστοί πω μᾶλλον Πελοποννήσιοι ἐς ἡμᾶς ἐγένοντο, εἴτε καὶ πάνυ ἔρρωνται, τὸ μὲν ἐς τὴν γῆν ἡμῶν ἐσβάλλειν, κἂν μὴ ἐκπλεύσωμεν, ἱκανοί εἰσι, τῷ δὲ ναυτικῷ οὐκ ἂν δύναιντο βλάπτειν. ὑπόλοιπον γὰρ ἡμῖν ἐστιν ἀντίπαλον ναυτικόν.

ιη'. Ὥστε τί ἂν λέγοντες εἰκὸς, ἢ αὐτοὶ ἀποκνοῖμεν, ἢ πρὸς τοὺς ἐκεῖ ξυμμάχους σκηπτόμενοι, μὴ βοηθοῖ-

habebimus, qui propter odium, quo Syracuſanos proſequuntur, nobiſcum ipſos invadent; neque res domeſticae impedient, ſi vos recte conſulueritis. Nam maiores noſtri, quamvis hos ipſos hoſtes, quibus hic nunc relictis Nicias eiuſque fautores nos in Siciliam navigaturos praedicant, & praeterea Medos hoſtes haberent, tamen imperium, quod iam obtinemus, comparaverunt, nulla alia re, quam magnitudine claſſis, qua pollebant. Et pro praeſenti rerum ſtatu Peloponneſii nunquam ante minus ſpei de nobis ſuperandis habuerunt, etſi etiam valde firmi magniſque viribus praediti ſint. Irruptionem quidem in agrum noſtrum facere poſſunt, quamvis hanc navalem expeditionem non ſuſcipiamus; ſed claſſe nihil nobis nocere queant. nam reliqua noſtra claſſis, quae domi remanebit, eſt illorum claſſi par, & facile ipſi reſiſtere poterit.

XVIII. *Quid igitur rationi conſentaneum afferemus, cur aut nos ipſi deſidia quadam hanc expeditionem recuſemus, aut tergiverſantes, ſociis, qui illic ſunt, non ſuccurramus? quibus (quan-*

μεν; οἷς χρεὼν, ἐπειδή γε καὶ ξυνωμόσαμεν, ἐπαμύνειν, καὶ μὴ ἀντιτιθέναι, ὅτι οὐδὲ ἐκεῖνοι ἡμῖν. οὐ γὰρ ἵνα δεῦρο ἀντιβοηθῶσι προσεβέμεθα αὐτοὺς, ἀλλ' ἵνα τοῖς ἐκεῖ ἐχθροῖς ἡμῶν λυπηροὶ ὄντες, δεῦρο κωλύωσιν αὐτοὺς ἐπιέναι. τήν τε ἀρχὴν οὕτως ἐκτησάμεθα καὶ ἡμεῖς, καὶ ἴσασι δὴ ἄλλοι ἦρξαν, παραγιγνόμενοι προθύμως τοῖς ἀεὶ ἢ βαρβάροις ἢ Ἕλλησιν ἐπικαλουμένοις. ἐπεὶ εἴγε ἡσυχάζοιεν πάντες, ἢ φιλοχρηματοῖεν, οἷς χρεὼν βοηθεῖν, βραχὺ ἄν τι προσκτώμενοι αὐτῇ, περὶ αὐτῆς ἂν ταύτης μᾶλλον κινδυνεύοιμεν. τὸν γὰρ προὔχοντα οὐ μόνον ἐπιόντα τὶς ἀμύνεται, ἀλλὰ καὶ μὴ ὅπως ἔπεισι προκαταλαμβάνει. καὶ οὐκ ἔστιν ἡμῖν ταμιεύεσθαι ἐς ὅσον βουλόμεθα ἄρχειν, ἀλλ' ἀνάγκη, ἐπειδήπερ ἐν τῷδε καθέσταμεν, τοῖς μὲν ἐπιβουλεύειν, τοὺς δὲ μὴ ἀνιέναι, διὰ

quidem vel iureiurando interpoſito foedus ac ſocietatem cum llis fecimus) opem ferre oportet, nec obiicere, auxilium ipſis non ſſe mittendum, quod ne ipſi quidem nobis auxilium viciſſim mitre poſſint. Neque enim ipſos nobis ſocios adiunximus, ut huc iciſſim opem nobis ferant; ſed ut illis hoſtibus, quos illic haemus, negotium faceſſentes, eos impediant, ne contra nos huc eniant. Sic enim imperium paravimus, & nos, & quotquot alii rum potiti ſunt, impigre ſuccurrendo ſemper iis, qui noſtrum uxilium implorarunt, ſive barbari, ſive Graeci eſſent. Nam ſi nnes quieſcant, aut delectum habeant illorum, quibus auxilium t ferendum, exiguam quandam agri alieni portionem ipſi noſtro mperio adiungentes, de hoc ipſo imperio magis periclitabimur. Quilibet enim eum, qui praepotens eſt, non ſolum contra ſe veientem propulſare ſolet; ſed etiam antevertere, ne contra veniat. Neque nobis licet imperium arbitratu noſtro moderari: ſed neceſt eſt, quando in hoc loco conſtituti ſumus, & imperium habe-

τὸ ἀρχθῆναι ἂν ὑφ' ἑτέρων, αὐτοῖς κίνδυνον εἶναι, εἰ μὴ αὐτοὶ ἄλλων ἄρχοιμεν. καὶ οὐκ ἐκ τοῦ αὐτοῦ ἐπισκεπτέον ἡμῖν τοῖς ἄλλοις τὸ ἥσυχον, εἰ μὴ καὶ τὰ ἐπιτηδεύματα ἐς τὸ ὅμοιον μεταλήψεσθε. λογισάμενοι οὖν τάδε μᾶλλον αὐξήσειν, ἐπ' ἐκεῖνα ἢν ἴωμεν, ποιώμεθα τὸν πλοῦν, ἵνα Πελοποννησίων τε στορέσωμεν τὸ φρόνημα, εἰ δόξομεν ὑπεριδόντες καὶ οὐκ ἀγαπήσαντες τὴν ἐν τῷ παρόντι ἡσυχίαν, καὶ ἐπὶ Σικελίαν πλεῦσαι. καὶ ἅμα ἢ τῆς Ἑλλάδος τῶν ἐκεῖ προσγενομένων πάσης τῷ εἰκότι ἄρξομεν, ἢ κακώσομέν γε Συρακουσίους· ἐν ᾧ καὶ αὐτοὶ καὶ οἱ ξύμμαχοι ὠφεληθησόμεθα. τὸ δὲ ἀσφαλὲς καὶ μένειν, ἤν τι προσχωρῇ, καὶ ἀπελθεῖν, αἱ νῆες παρέξουσιν. αὐτοκράτορες γὰρ ἐσόμεθα καὶ ξυμπάντων Σικελιωτῶν. καὶ μὴ ὑμᾶς ἡ Νικίου τῶν λόγων

mus, aliis quidem inſidiari, alios vero non miſſos facere: quod periculum nobis ipſis immineat, ne aliorum imperio pareamus, niſi nos ipſi aliis imperemus. Neque eodem modo nobis, quo ceteris, ratio quietis eſt habenda, niſi etiam mutato vitae genere, ſtudiis iiſdem, quae ceteri ſequuntur, operam detis. Conſiderantes igitur, fore, ut has res magis augeamus, ſi ad illas proficiſcamur, hanc navalem expeditionem ſuſcipiamus, ut Peloponneſiorum ſpiritus deprimamus, ſi contemtis ipſis, neque praeſenti quiete, qua fruimur, contenti, in Siciliam etiam traiicere videamur. Simul etiam, aut Graeciae totius, ut credibile videtur, imperium obtinebimus, rebus illis in noſtram poteſtatem redactis, aut ſaltem malo Syracuſanos afficiemus: unde tum nos ipſi, tum etiam ſocii noſtri utilitatem percipient. Tuto autem & manendi, ſi quis ſe nobis dedat, & abeundi facultatem naves praebebunt. Nam & apud univerſos Sicilienſes merum imperium obtinebimus.

αγμοσύνη καὶ διάστασις τοῖς νέοις ἐς τοὺς πρεσβυ-
υς ἀποστρέψῃ. τῷ δὲ εἰωθότι κόσμῳ, ὥσπερ καὶ οἱ
έρες ἡμῶν, ἅμα νέοι γεραιτέροις βουλεύοντες, ἐς
ε ἦραν αὐτὰ, καὶ νῦν τῷ αὐτῷ τρόπῳ πειρᾶσθε
αγαγεῖν τὴν πόλιν· καὶ νομίσατε, νεότητα μὲν καὶ
ας ἄνευ ἀλλήλων μηδὲν δύνασθαι· ὁμοῦ δὲ, τό, τε
ὖλον, καὶ τὸ μέσον, καὶ τὸ πάνυ ἀκριβὲς ἂν ξυγκρα-
μάλιστ' ἂν ἰσχύειν· καὶ τὴν πόλιν, ἂν μὲν ἡσυχά-
τρίψεσθαί τε αὐτὴν περὶ ἑαυτὴν, ὥσπερ καὶ ἄλλο
καὶ πάντων τὴν ἐπιστήμην ἐγγηράσεσθαι· ἀγωνι-
ένην δὲ, ἀεὶ προσλήψεσθαί τε τὴν ἐμπειρίαν, καὶ τὸ
ύνεσθαι, οὐ λόγῳ ἀλλ' ἔργῳ μᾶλλον ξύνηθες ἕξειν.
ιάπαν τε γιγνώσκω, πόλιν μὴ ἀπράγμονα τάχιστ'
μοι δοκεῖν ἀπραγμοσύνης μεταβολῇ διαφθαρῆναι·
τῶν ἀνθρώπων ἀσφαλέστατα τούτους οἰκεῖν, οἳ ἂν

ue vero Niciae oratio, quae quietem vobis ſuadet, & diſſi-
inter iuvenes & ſenes excitat, vos avertat. Sed ſolita mo-
, quemadmodum & maiores noſtri res ipſas in hunc ſtatum
lerunt, dum iuniores una cum ſenioribus conſultarent, nunc
n eadem ratione rempublicam amplificare conemini: & exiſti-
s, iuventutem ac ſenectutem, alteram ſine altera, nihil poſſe.
ſi infimus, & medius, & ſummus ordo ſit ſimul permixtus,
imas vires habere. Et rempublicam, ſi quieſcat, ipſam ſuis
ts opibus attritum iri, ut quaelibet alia, & futurum, ut
ium diſciplina in ipſa conſeneſcat: ſed ſi bella gerat, peri-
ſibi ſemper adiuncturam, & uſum adepturam, quo non ver-
, at factis potius propulſare poſſit. In ſumma vobiſcum ita
io, civitatem negotioſam, ſi negotium cum otio commutet,
iudicio confeſtim everti: & illos homines tutiſſime degere vi-

τοῖς παροῦσιν ἤθεσι καὶ νόμοις, ἢν καὶ χείρω ᾖ, ἥκιστα διαφόρως πολιτεύωσι.

ιθ'. Τοιαῦτα μὲν ὁ Ἀλκιβιάδης εἶπεν. οἱ δ' Ἀθηναῖοι, ἀκούσαντες ἐκείνου τε καὶ τῶν Ἐγεσταίων καὶ Λεοντίνων φυγάδων, οἳ παρελθόντες ἐδέοντό τε, καὶ τῶν ὁρκίων ὑπομιμνήσκοντες, ἱκέτευον βοηθῆσαι σφίσι, πολλῷ μᾶλλον ἢ πρότερον ὥρμηντο στρατεύειν. καὶ ὁ Νικίας γνοὺς ὅτι ἀπὸ μὲν τῶν αὐτῶν λόγων οὐκ ἂν ἔτι ἀποτρέψειε, παρασκευῆς δὲ πλήθει, εἰ πολλὴν ἐπιτάξειε, τάχ' ἂν μεταστήσειεν αὐτούς, παρελθὼν αὐτοῖς ἔλεγε τοιάδε.

κ'. Ἐπειδὴ πάντως ὁρῶ ὑμᾶς, ὦ Ἀθηναῖοι, ὡρμημένους στρατεύειν, ξυνενέγκοι μὲν ταῦτα ὡς βουλόμεθα· ἐπὶ δὲ τῷ παρόντι ἃ γιγνώσκω σημανῶ. ἐπὶ γὰρ

tam, qui praeſentibus inſtitutis, legibuſque, quamvis ſint deteriores, in civitatibus minime diſcordes vivunt.

XIX. Atque Alcibiades quidem haec dixit. Athenienſes vero, cum audiſſent & illum, & Egeſtaeos & Leontinos exſules, qui in medium prodierant, & orabant, & foederis iusiurandum in memoriam Athenienſibus revocantes, precibus ſupplicibus ab ipſis petebant, ut opem ſibi ferrent, longe maiore, quam ante, ſtudio ad hanc expeditionem ſuſcipiendam ferebantur. Nicias vero, cum animadvertiſſet, fore, ut non amplius iiſdem rationibus revocaret, ſed apparatus magnitudine, ſi magnum imperaret, fortaſſe ipſos de ſententia deduceret, rurſus in mediam contionem progreſſus, hunc in modum apud ipſos eſt locutus.

XX. *Quoniam vos ad hanc militiam obeundam, Athenienſes, prorſus animatos video, utinam haec cum exitum habeant, quem cupimus. In praeſentia tamen meam ſententiam vo-*

ὁλεις, ὡς ἐγὼ ἀκοῇ αἰσθάνομαι, μέλλομεν ἰέναι μεγάλας, καὶ οὔθ' ὑπηκόους ἀλλήλων, οὔτε δεομένας μεταβολῆς, ᾗ ἂν ἐκ βιαίου τὶς δουλείας ἄσμενος ἐς ῥᾴω μετάστασιν χωροίη· οὐδ' ἂν τὴν ἀρχὴν τὴν ἡμετέραν εἰκότως ἀντ' ἐλευθερίας προσδεξομένας, τό, τε πλῆθος, ὡς ἐν μιᾷ νήσῳ, πολλὰς τὰς Ἑλληνίδας. πλὴν γὰρ Νάξου καὶ Κατάνης (ἃς ἐλπίζω ἡμῖν κατὰ τὸ Λεοντίνων ξυγγενὲς προσέσεσθαι) ἄλλαι εἰσὶν ἑπτὰ, καὶ παρεσκευασμέναι τοῖς πᾶσιν ὁμοιοτρόπως μάλιστα τῇ ἡμετέρᾳ δύναμει, καὶ οὐχ ἥκιστα ἐπὶ ἃς μᾶλλον πλέομεν, Σελινοῦς καὶ Συράκουσαι. πολλοὶ μὲν γὰρ ὁπλῖται ἔνεισι, καὶ τοξόται, καὶ ἀκοντισταὶ, πολλαὶ δὲ τριήρεις, καὶ ὄχλος ὁ πληρώσων αὐτάς. χρήματά τ' ἔχουσι τὰ μὲν, ἴδια, τὰ δὲ, καὶ ἐν τοῖς ἱεροῖς ἐστι Σελινουντίοις. Συρακουσίοις δὲ καὶ ἀπὸ βαρβάρων τινῶν ἀπαρχὴ εισ-

bis exponam. Etenim adverſus civitates, quantum ego audiendo didici, magnas ituri ſumus; quae aliarum imperio non parent, neque mutationem deſiderant, qua aliqua ipſarum ex dura ſervitute in meliorem rerum ſtatum tranſeat: & quas veriſimile eſt ſuam libertatem cum noſtro imperio non eſſe commutaturas; & quae, ut in una inſula, ſunt numero multae, eaeque Graecae civitates. Nam praeter Naxum & Catanam (quas propter Leontinorum cognationem ad noſtras partes ſpero tranſituras) ſunt aliae ſeptem, quae rebus omnibus ſunt inſtructae prorſus eodem modo, quo noſter exercitus, praecipue vero illae, Selinus & Syracuſae, adverſus quas potiſſimum tendimus. Nam in illis ſunt & multi gravis armaturae milites, & ſagittarii, & iaculatores, & multae triremes, & hominum multitudo, quae illas implebit. Habent etiam pecuniam, partim privatam, partim publicam, quam cum alii, tum etiam Selinuntii in templis ſervant: quin etiam Syracuſanis

φέρεται. ὧ δὲ μάλιστα ἡμῶν προέχουσιν, ἵππους τε πολλοὺς κέκτηνται, καὶ σίτῳ οἰκείῳ καὶ οὐκ ἐπακτῷ χρῶνται.

κά. Πρὸς οὖν τοιαύτην δύναμιν οὐ ναυτικῆς καὶ φαύλου στρατιᾶς μόνον δεῖ, ἀλλὰ καὶ πεζὸν πολὺν ξυμπλεῖν, εἴπερ βουλόμεθα ἄξιόν τι τῆς διανοίας δρᾶν, καὶ μὴ ὑπὸ ἱππέων πολλῶν εἴργεσθαι τῆς γῆς· ἄλλως τε καὶ εἰ ξυστῶσιν αἱ πόλεις φοβηθεῖσαι, καὶ μὴ ἀντιπαράσχωσιν ἡμῖν φίλοι τινὲς γενόμενοι ἄλλοι ἢ Ἐγεσταῖοι ᾧ ἀμυνούμεθα ἱππικόν. αἰσχρὸν δὲ βιασθέντας ἀπελθεῖν, ἢ ὕστερον ἐπιμεταπέμπεσθαι, τοπρῶτον ἀσκέπτως βουλευσαμένους. αὐτόθεν δὲ παρασκευῇ ἀξιόχρεῳ ἐπιέναι, γνόντας ὅτι πολύ τε ἀπὸ τῆς ἡμετέρας αὐτῶν μέλλομεν πλεῖν, καὶ οὐκ ἐν τῷ ὁμοίῳ στρατευσόμενοι· καὶ οὐκ ἐν τοῖς τῇδε ὑπηκόοις ξύμμαχοι ἥξοντες

tributum a nonnullis barbaris penditur. Et, quo nobis praecipue praestant, magnam equorum copiam habent, & frumento dominato, nec aliunde importato utuntur.

XXI. *Adversus igitur talem potentiam non solum navalibus & infirmis copiis est opus; sed etiam multum equitatum nobiscum navigare oportet, si modo aliquid cogitatis dignum agere volumus, nec a magno hostium equitatu terra Sicula prohiberi: praesertim si civitates nostri metu conspirent; nec ulli alii, quam Egestaei, amici nobis facti, equitatum, quo hostibus resistamus, vicissim suppeditent. Turpe enim est, nos vi repulsos discedere, aut postea novas copias arcessere, quod primo consilium prudens non inierimus. Sed oportet nos ex hoc ipso loco cum firmissimo apparatu bellum illis inferre, & illud scire, nos ab agri nostri finibus procul esse navigaturos, neque copias hinc educturos eodem modo, quo consuevistis inter civitates, quae sunt in his re-*

τε ἐπί τινα, ὅθεν ῥᾴδιαι αἱ κομιδαὶ ἐκ τῆς Φιλίας ὧν προσέδει, ἀλλ' ἐς ἀλλοτρίαν πᾶσαν ἀπαρτήσαντες, ἐξ ἧς μηνῶν οὐδὲ τεσσάρων τῶν χειμερινῶν ἄγγελον ῥᾴδιον ἐλθεῖν.

κβ'. Ὁπλίτας τε οὖν πολλούς μοι δοκεῖ χρῆναι ἡμᾶς ἄγειν καὶ ἡμῶν αὐτῶν καὶ τῶν ξυμμάχων, τῶν τε ὑπηκόων, καὶ ἤν τινα ἐκ Πελοποννήσου δυνώμεθα ἢ πεῖσαι, ἢ μισθῷ προσαγαγέσθαι· καὶ τοξότας πολλοὺς καὶ σφενδονήτας, ὅπως πρὸς τὸ ἐκείνων ἱππικὸν ἀντέχωσι· ναυσί τε καὶ πολὺ περιεῖναι, ἵνα καὶ τὰ ἐπιτήδεια ῥᾷον ἐσκομιζώμεθα· τὸν δὲ καὶ αὐτόθεν σῖτον ἐν ὀλκάσι πυρούς καὶ πεφρυγμένας κριθὰς ἄγειν, καὶ σιτοποιοὺς ἐκ τῶν μυλώνων πρὸς μέρος ἠναγκασμένους ἐμμίσθους, ἵνα ἤν που ὑπὸ ἀπλοίας ἀπολαμβανώμεθα, ἔχῃ ἡ στρα-

gionibus, & quae veſtro imperio parent, cum iure ſocietatis alicui bellum inſertis, unde res neceſſarias ex agro amico facile poteſtis comportare: ſed in agrum totum alienum, procul a domo profecturos, unde ne quatuor quidem hibernorum menſium ſpatio nuntius huc facile venire poſſit.

XXII. *Ego igitur cenſeo, nobiſcum ducendos eſſe multos gravis armaturae milites, cum ex noſtris civibus, tum ex noſtris ſociis, tum etiam ex iis, qui noſtro imperio parent, & ſi quem alium aut verbis, aut mercede adductum nobis adiungere poſſumus. praeterea multos ſagittarios, & funditores, ut illorum equitatui reſiſtant. Item hoſtes navium numero longe ſuperandos cenſeo, ut res ad victum neceſſarias illuc facilius importemus. frumentum etiam, triticum, inquam, & hordeum toſtum, hinc navibus onerariis eo convehendum; & piſtores ex piſtrinis mercede conductos, qui viciſſim operam piſtrino dare cogantur, adducendos cenſeo, ut, ſi quo in loco tempeſtatibus intercepti teneamur, exce-*

τιὰ τὰ ἐπιτήδεια. πολλὴ γὰρ οὖσα, οὐ πάσης ἔσται πόλεως ὑποδέξασθαι. τά τε ἄλλα ὅσον δυνατὸν ἑτοιμάσασθαι, καὶ μὴ ἐπὶ ἑτέροις γίγνεσθαι· μάλιστα δὲ χρήματα αὐτόθεν ὡς πλεῖστα ἔχειν. τὰ δὲ παρ' Ἐγεσταίων, ἃ λέγεται ἐκεῖ ἕτοιμα, νομίσατε καὶ λόγῳ ἂν μάλιστα ἕτοιμα εἶναι.

κγ'. Ἢν γὰρ αὐτοὶ ἔλθωμεν ἐνθένδε μὴ ἀντίπαλον μόνον παρασκευασάμενοι, πλήν γε πρὸς τὸ μάχιμον αὐτῶν τὸ ὁπλιτικὸν, ἀλλὰ καὶ ὑπερβάλλοντες τοῖς πᾶσι, μόλις οὕτως οἷοί τε ἐσόμεθα τῶν μὲν κρατεῖν, τὰ δὲ καὶ διασῶσαι. πόλιν τε νομίσαι χρὴ ἐν ἀλλοφύλοις καὶ πολεμίοις εἰκειοῦντας ἰέναι, οὓς πρέπει τῇ πρώτῃ ἡμέρᾳ ἢ ἂν κατάσχωσιν, εὐθὺς κρατεῖν τῆς γῆς· ἢ εἰδέναι ὅτι ἢν σφάλωνται, πάντα πολέμια ἕξουσιν, ὅπερ ἐγὼ φοβού-

citus res ad victum neceſſarias habeat. Cum enim hic exercitus futurus ſit ingens, eum non quaelibet civitas excipere poterit. Ceteraſque res pro viribus praeparandas, neque noſtrae ſalutis praeſidium in aliorum auxilio collocandum cenſeo: inprimis vero pecuniam quam plurimam hinc afferendam. nam quae ab Egeſtaeis praedicatur illic in promtu eſſe, eam verbo tenus in promtu fore putetis.

XXIII. *Nam ſi nos hinc diſcedamus cum exercitu, quem non ſolum hoſtili parem praeparaverimus, (niſi bellicoſo gravis armaturae robori, quod habent) ſed etiam cum eo, qui rebus omnibus longe ſit inſtructior, quam hoſtilis exercitus, tamen & ſic vix illas quidem in noſtram poteſtatem redigere, has vero conſervare poterimus. Exiſtimandum autem eſt proficiſci, ut urbem aliquam inter alienigenas ac hoſtes ſibi vindicent: quos primo die, quo ad inſulam appulerint, confeſtim agro potiri oportet; aut perſuaſum habere, niſi voti compotes fiant, fore, ut omnia habeant hoſtilia. Quod ego formidans, & compertum habens, oportere*

μενος, καὶ εἰδὼς πολλὰ μὲν ἡμᾶς δέον εὖ βουλεύσασθαι, ἔτι δὲ πλείω εὐτυχῆσαι (χαλεπὸν δὲ, ἀνθρώπους ὄντας) ὀτιελάχιστα τῇ τύχῃ παραδοὺς ἐμαυτὸν βούλομαι ἐκπλεῖν, παρασκευῇ δὲ ἀπὸ τῶν εἰκότων ἀσφαλὴς ἐκπλεῦσαι. ταῦτα γὰρ τῇ τε ξυμπάσῃ πόλει βεβαιότατα ἡγοῦμαι, καὶ ἡμῖν τοῖς στρατευσομένοις σωτήρια. εἰ δέ τῳ ἄλλως δοκεῖ, παρίημι αὐτῷ τὴν ἀρχήν.

κδ'. Ὁ μὲν Νικίας τοσαῦτα εἶπε, νομίζων τοὺς Ἀθηναίους τῷ πλήθει τῶν πραγμάτων ἢ ἀποτρέψειν, ἢ εἰ ἀναγκάζοιτο στρατεύεσθαι, μάλιστα οὕτως ἀσφαλῶς ἐκπλεῦσαι. οἱ δὲ, τὸ μὲν ἐπιθυμοῦν τοῦ πλοῦ οὐκ ἐξηρέθησαν ὑπὸ τοῦ ὀχλώδους τῆς παρασκευῆς, πολὺ δὲ μᾶλλον ὥρμηντο. καὶ τοὐναντίον περιέστη αὐτῷ· εὖ τε γὰρ παραινέσαι ἔδοξε, καὶ ἀσφάλεια νῦν δὴ καὶ πολλὴ ἔσεσθαι. καὶ ἔρως ἐνέπεσε τοῖς πᾶσιν ὁμοίως ἐκπλεῦσαι.

nos de rebus iſtis ſaepius & recte conſultare, ac multo magis rem feliciter gerere, (quod arduum eſt, quia ſumus homines) ad hanc expeditionem proficiſci volo, quam minimum memet fortunae committens; ſed apparatu munitus, ut rationi conſentaneum videtur, hinc diſcedere volo. Haec enim & univerſae reipublicae tutiſſima, & nobis ad militiam profecturis ſalutaria fore duco. Quod ſi quis aliter ſentiat, huic ego magiſtratu cedo.

XXIV. Atque Nicias quidem haec dixit, ſperans, ſe vel rerum multitudine de ſententia deducturum; vel ſi ad hanc expeditionem ipſe proficiſci cogeretur, ſic ſaltem ſe tuto profecturum. Illi vero hanc huius expeditionis cupiditatem ex animis non expulerunt, quamvis tanti apparatus difficultas ipſis proponeretur; ſed multo magis incitati ſunt. Et res ipſi ceſſit aliter, ac ſperabat. Nam & ipſe bonum conſilium dediſſe, & res hoc modo tutiſſima fore videba-

τοῖς μὲν γὰρ πρεσβυτέροις, ὡς ἢ καταστρεψομένοις ἐφ' ἃ ἔπλεον, ἢ οὐδὲν ἂν σφαλεῖσαν μεγάλην δύναμιν· τοῖς δ' ἐν τῇ ἡλικίᾳ, τῆς τε ἀπούσης πόθῳ ὄψεως καὶ θεωρίας, καὶ εὐέλπιδες ὄντες σωθήσεσθαι· ὁ δὲ πολὺς ὅμιλος, καὶ στρατιώτης, ἔν τε τῷ παρόντι ἀργύριον ὄψειν, καὶ προσκτήσασθαι δύναμιν, ὅθεν ἀίδιον μισθοφορὰν ὑπάρξειν. ὥστε διὰ τὴν ἄγαν τῶν πλειόνων ἐπιθυμίαν, εἴτῳ ἄρα καὶ μὴ ἤρεσκε, δεδιὼς μὴ ἀντιχειροτονῶν, κακόνους δόξειεν εἶναι τῇ πόλει, ἡσυχίαν ἦγε.

κε'. Καὶ τέλος παρελθών τις τῶν Ἀθηναίων καὶ παρακαλέσας τὸν Νικίαν, οὐκ ἔφη χρῆναι προφασίζεσθαι, οὐδὲ διαμέλλειν, ἀλλ' ἐναντίον ἁπάντων ἤδη λέ-

tur. Et navigandi deſiderium omnes pariter invaſit. Ac ſeniores quidem, quod vel in ſuam poteſtatem ſe redacturos ſperarent ea, ad quae pergerent, vel ſaltem exercitum, qui tantus eſſet, nullam cladem accepturum. Illos vero, qui erant aetate integra, quod peregrinam regionem viſere & ſpectare cuperent, & bonam ſpem animo conciperent, fore, ut incolumes ſalvique reverterentur. Ingens vero militum turba proficiſci cupiebat, ſperans, ſe & in praeſentia pecuniam accepturam, & imperium amplificaturam, unde perpetuum ſtipendium ſibi ſuppeditaturum credebat. Quamobrem propter nimiam pluris habendi cupiditatem, ſi cui forte res iſta minus placebat, veritus, ne ceteris refragando reipublicae malevolus eſſe videretur, ſilentium agebat.

XXV. Tandem vero quidam ex Athenienſibus in medium progreſſus, & Niciam adhortatus, dixit, non oportere amplius eum tergiverſari, atque cunctari; ſed in omnium conſpectu iam declarare, quemnam apparatum

γειν ἤν τινα αὐτῷ παρασκευὴν Ἀθηναῖοι ψηφίσωνται. ὁ δὲ, ἄκων μὲν εἶπεν ὅτι καὶ μετὰ τῶν ξυναρχόντων καθ' ἡσυχίαν μᾶλλον βουλεύσοιτο· ὅσα μέντοι ἤδη δοκεῖν αὐτῷ, τριήρεσι μὲν οὐκ ἔλασσον ἢ ἑκατὸν πλευστέα εἶναι. αὐτῶν δ' Ἀθηναίων ἔσεσθαι ὁπλιταγωγοὺς ὅσαι ἂν δοκῶσι, καὶ ἄλλας ἐκ τῶν ξυμμάχων μεταπεμπτέας εἶναι. ὁπλίταις δὲ τοῖς ξύμπασιν Ἀθηναίων καὶ τῶν ξυμμάχων, πεντακισχιλίων μὲν οὐκ ἐλάσσοσιν, ἢν δέ τι δύνωνται, καὶ πλείοσι. τὴν δὲ ἄλλην παρασκευὴν ὡς κατὰ λόγον, καὶ τοξοτῶν τῶν αὐτόθεν, καὶ ἐκ Κρήτης, καὶ σφενδονητῶν, καὶ ἤν τι ἄλλο πρέπον δοκῇ εἶναι, ἑτοιμασάμενοι ἄξειν.

κστ'. Ἀκούσαντες δ' οἱ Ἀθηναῖοι, ἐψηφίσαντο εὐθὺς αὐτοκράτορας εἶναι, καὶ περὶ στρατιᾶς πλήθους καὶ περὶ

ab Athenienſibus ſibi decerni vellet. Ille vero invitus dixit, ſe cum collegis per otium hac de re accuratius conſultaturum. Quantum tamen iudicare poterat, non pauciori-

bus, quam centum triremibus, in praeſentia navigandum cenſebat. Navium autem Atticarum milites vehentium numerum tantum fore, quantus ipſis videretur, aliaſque ex ſociis arceſſendas. Univerſorum autem gravis armaturae militum, tam Athenienſium, quam ſociorum numerum, non minorem quidem, quam quinque millium, ſed ampliorem etiam, ſi poſſent, mittendum cenſebat. Reliquum vero apparatum, pro exercitus magnitudine, & ſagittariorum illinc & ex Creta aſſumtorum, & funditorum, & ſi quid aliud opportunum eſſe videretur, praeparaturos & ducturos.

XXVI. Cum autem Athenienſes haec audiſſent, confeſtim ipſis imperatoribus ſummam imperii poteſtatem facto

τοῦ παντὸς πλοῦ τοὺς στρατηγοὺς πράσσειν ἢ ἂν αὐτοῖς δοκῇ ἄριστα εἶναι Ἀθηναίοις. καὶ μετὰ ταῦτα ἡ παρασκευὴ ἐγίγνετο· καὶ ἔς τε τοὺς ξυμμάχους ἔπεμπον, καὶ αὐτόθεν καταλόγους ἐποιοῦντο. ἄρτι δ' ἀνειλήφει ἡ πόλις ἑαυτὴν ἀπὸ τῆς νόσου καὶ τοῦ ξυνεχοῦς πολέμου, ἔς τε ἡλικίας πλῆθος ἐπιγεγενημένης, καὶ ἐς χρημάτων ἄθροισιν, διὰ τὴν ἐκεχειρίαν. ὥστε ῥᾴον πάντα ἐπορίζετο. καὶ οἱ μὲν ἐν παρασκευῇ ἦσαν.

Bell. Pelop. an. 17. Olymp. 91. 1. U. C. Varr. 339. Maii 9.

κζ'. Ἐν δὲ τούτῳ ὅσοι Ἑρμαῖ ἦσαν λίθινοι ἐν τῇ πόλει τῇ Ἀθηναίων (εἰσὶ δὲ, κατὰ τὸ ἐπιχώριον, ἡ τετράγωνος ἐργασία, πολλοὶ καὶ ἐν ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς) μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα. καὶ τοὺς δράσαντας ᾔδει οὐδείς, ἀλλὰ μεγάλοις

decreto dederunt, ut arbitratu ſuo & de copiarum numero, & de univerſae navigationis ratione tranſigerent, prout ipſis ex uſu reipublicae Athenienſis maxime fore videretur. Poſt haec autem hic apparatus parari coepit. Et cum ad ſocios mittebant, tum etiam ex ſuo ipſorum agro milites conſcribebant. Iam enim civitas & a morbo & ab aſſiduo bello ſe recreaverat, ita ut & civium aetate militari praeditorum, poſt morbum natorum, numero floreret, & pecunia coacta abundaret, propter inducias. Quamobrem omnia facilius ſuppeditabantur. Atque hi quidem in apparatu erant.

XXVII. Interea vero quotquot lapidea Mercurii ſimulacra Athenis erant, (ritu autem patrio multa cum in privatarum aedium veſtibulis, tum in templis erant, opus ex lapide quadrato) una eademque nocte pleraque vultu circumciſa fuerunt. Cuius facinoris auctores nullus ſciebat: ſed iſti magnis praemiis pro indicio publice propoſitis quae-

μηνύτροις δημοσίᾳ οὗτοί τε ἐζητοῦντο, καὶ προσέτι ἐψηφίσαντο, καὶ εἴτις ἄλλο τι οἶδεν ἀσέβημα γεγενημένον, μηνύειν ἀδεῶς τὸν βουλόμενον καὶ ἀστῶν καὶ ξένων καὶ δούλων. καὶ τὸ πρᾶγμα μειζόνως ἐλάμβανον. τοῦ τε γὰρ ἔκπλου οἰωνὸς ἐδόκει εἶναι, καὶ ἐπὶ ξυνωμοσίᾳ ἅμα νεωτέρων πραγμάτων καὶ δήμου καταλύσεως γεγενῆσθαι.

κη'. Μηνύεται οὖν ἀπὸ μετοίκων τέ τινων καὶ ἀκολούθων, περὶ μὲν τῶν Ἑρμῶν οὐδέν, ἄλλων δὲ ἀγαλμάτων περικοπαί τινες πρότερον ὑπὸ νεωτέρων μετὰ παιδιᾶς καὶ οἴνου γεγενημέναι, καὶ τὰ μυστήρια ἅμα ὡς ποιῆται ἐν οἰκίαις ἐφ' ὕβρει. ὧν καὶ τὸν Ἀλκιβιάδην ἐπῃτιῶντο, καὶ αὐτὰ ὑπολαμβάνοντες οἱ μάλιστα τῷ Ἀλκιβιάδῃ ἀχθόμενοι, ἐμποδὼν ὄντι σφίσιν αὐτοῖς μὴ τοῦ δήμου βεβαίως προεστάναι, καὶ νομίσαντες, εἰ αὐ-

rebantur: praeterea Athenienſes decreverunt ac edixerunt, ut, ſi quis aliquod aliud piaculum admiſſum ſciret, quilibet, ſive civis, ſive peregrinus, ſive ſervus, hoc ſine timore indicaret. Hoc autem facinus atrocius eſſe iudicabant. Huius enim expeditionis malum omen eſſe videbatur; ſimul etiam hoc per coniurationem factum fuiſſe videbatur, rerum novandarum, ſtatuſque popularis evertendi cauſa.

XXVIII. A quibuſdam igitur inquilinis & famulis, de Mercurii quidem ſimulacris nihil indicatum eſt: ſed de quibuſdam aliis ſtatuis ab adoleſcentibus per luſum ac temulentiam iampridem conciſis; ſimul etiam de ſacris arcanis, quae per contemtionem domi fiebant. Quarum rerum etiam Alcibiadem inſimulabant. Qui autem Alcibiadi maxime infenſi erant, quod ipſis impedimento eſſet, quo minus in adminiſtranda republica principem locum conſtanter ob-

τὸν ἐξελάσειαν, πρῶτοι ἂν εἶναι, ἐμεγάλυνον, καὶ ἐβόων ὡς ἐπὶ δήμου καταλύσει τά τε μυστικὰ καὶ ἡ τῶν Ἑρμῶν περικοπὴ γένοιτο· καὶ οὐδὲν εἴη αὐτῶν ὅ, τι οὐ μετ' ἐκείνου ἐπράχθη· ἐπιλέγοντες τεκμήρια, τὴν ἄλλην αὐτοῦ ἐς τὰ ἐπιτηδεύματα οὐ δημοτικὴν παρανομίαν.

κθ'. Ὁ δ' ἔν τε τῷ παρόντι πρὸς τὰ μηνύματα ἀπελογεῖτο, καὶ ἕτοιμος ἦν, πρὶν ἐκπλεῖν κρίνεσθαι εἴτι τούτων εἰργασμένος ἦν· (ἤδη γὰρ καὶ τὰ τῆς παρασκευῆς ἐπεπόριστο) καὶ εἰ μὲν τούτων τὶ εἴργαστο, δίκην δοῦναι· εἰ δ' ἀπολυθείη, ἄρχειν. καὶ ἐπεμαρτύρετο μὴ ἀπόντος περὶ αὐτοῦ διαβολὰς ἀποδέχεσθαι, ἀλλ' ἤδη ἀποκτείνειν, εἰ ἀδικεῖ· καὶ ὅτι σωφρονέστερον εἴη μὴ

tinerent, haec indicia ac crimina excipientes, & exiſtimantes, ſi eum expuliſſent, ſe reipublicae principes futuros, rem exaggerabant, vociferabanturque, ad popularis ſtatus everſionem ſpectare, tum quod illa myſtica & arcana ſacra domi per Deorum contemtionem facta fuiſſent, tum etiam, quod Mercurii ſimulacra conciſa fuiſſent: eorumque nihil ſine illo factum eſſe dicebant: addentes argumenta, quibus probarent, hoc facinus ab eo perpetratum, reliquam vitae licentiam, qua in victu cultuque corporis praeter patrium & populare inſtitutum utebatur.

XXIX. Ille vero & in praeſentia adverſus indicia ſe purgabat, & antequam diſcederet, ad cauſam dicendam & ad iudicium ſubeundum paratus erat, ſi quid horum admiſiſſet. (iam enim quae ad illum apparatum ſpectabant, collata & praeparata erant) & ſi quid horum commiſiſſet, ad poenas dandas erat paratus: ſin abſolutus fuiſſet, ad imperium gerendum, quod ipſi decretum fuerat. Et obteſtabatur, ne de ſe abſente crimina reciperent; ſed iam,

τὰ τοιαύτης αἰτίας, πρὶν διαγνῶσι, πέμπειν αὐτὸν
τοσούτῳ στρατεύματι. οἱ δ' ἐχθροὶ, δεδιότες, τό, τε
ιάτευμα μὴ εὔνουν ἔχῃ, ἢν ἤδη ἀγωνίζηται, ὅ, τε δῆ-
ς μὴ μαλακίζηται θεραπεύων, ὅτι δι' ἐκεῖνον οἵ τ'
ογεῖοι ξυνεστράτευον καὶ τῶν Μαντινέων τινὲς, ἀπέ-
πον καὶ ἀπέσπευδον, ἄλλους ῥήτορας ἐνιέντες, οἳ ἔλε-
ν νῦν μὲν πλεῖν αὐτὸν, καὶ μὴ κατασχεῖν τὴν ἀνα-
γὴν, ἐλθόντα δὲ, κρίνεσθαι ἐν ἡμέραις ῥηταῖς· βου-
μενοι ἐκ μείζονος διαβολῆς, ἣν ἔμελλον ῥᾷον αὐτοῦ
όντος πορεῖν, μετάπεμπτον κομισθέντα αὐτὸν ἀγω-
ασθαι. καὶ ἔδοξε πλεῖν τὸν Ἀλκιβιάδην.

λ'. Μετὰ δὲ ταῦτα, θέρους μεσοῦντος ἤδη, ἡ ἀνα- Post Iun. S.
γὴ ἐγίγνετο ἐς τὴν Σικελίαν. τῶν μὲν οὖν ξυμμάχων
ς πλείστοις, καὶ ταῖς σιταγωγοῖς ὁλκάσι, καὶ τοῖς

deliquiſſet, morte mulctarent. Et ſapientius eſſe dice-
t, ne ſe talis criminis reum, priuſquam cauſam cogno-
ſent, tanti exercitus imperatorem mitterent. Sed eius
mici, veriti, ne, ſi iam certaret, ac iudicium ſubiret,
ercitum ſibi benevolum haberet, neve plebs, eius ha-
ns rationem, animo remiſſiore eſſet, quod propter ipſum
Argivi & ex Mantineis nonnulli ad hanc expeditionem
m eo proficiſcerentur, hoc diſſuadebant, & populum de-
rrebant, ſubmiſſis aliis oratoribus, qui dicebant, tunc
ıidem ipſi navigandum eſſe, neque profectionem retar-
ndam, ſed reverſum ad diem dictam iudicium ſubitu-
m: volebant enim eum maiore cum invidia, quam ipſi
ɔſenti facilius conflaturi erant, revocatum & reverſum
ıdicio contendere. Quare placuit, ut Alcibiades abiret.

XXX. Poſtea vero, aeſtate iam media, claſſis portu
ılvens in Siciliam navigare coepit. Pleriſque autem ſo-

πλοίοις, καὶ ὅση ἄλλη παρασκευὴ ξυνείπετο, πρότερον εἴρητο ἐς Κέρκυραν ξυλλέγεσθαι, ὡς ἐκεῖθεν ἀθρόοις ἐπὶ τὴν ἄκραν Ἰαπυγίαν τὸν Ἰόνιον διαβαλοῦσιν. αὐτοὶ δ' Ἀθηναῖοι, καὶ εἴ τινες τῶν ξυμμάχων παρῆσαν, ἐς τὸν Πειραῖα καταβάντες, ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπλήρουν τὰς ναῦς, ὡς ἀναξόμενοι. ξυγκατέβη δὲ καὶ ὁ ἄλλος ὅμιλος ἅπας, ὡς εἰπεῖν, ὁ ἐν τῇ πόλει, καὶ ἀστῶν καὶ ξένων· οἱ μὲν ἐπιχώριοι, τοὺς σφετέρους αὐτῶν ἕκαστοι προπέμποντες, οἱ μὲν, ἑταίρους, οἱ δὲ, ξυγγενεῖς, οἱ δὲ, υἱεῖς· καὶ μετ' ἐλπίδος τε ἅμα ἰόντες καὶ ὀλοφυρμῶν, τὰ μὲν, ὡς κτήσοιντο, τοὺς δ' εἴποτε ὄψοιντο· ἐνθυμούμενοι ὅσον πλοῦν ἐκ τῆς σφετέρας ἀπεστέλλοντο.

ciis, & onerariis navibus commeatum vecturis, & minoribus navigiis, & quicunque praeterea apparatus comitabatur, ante praeceptum fuerat, ut Corcyram convenirent, ut illinc omnes simul Ionium ad Iapygiam promontorium transmitterent. Ipsi autem Athenienses, & si qui sociorum aderant, cum ad dictam diem in Piraeeum descendissent, primo diluculo naves implere coeperunt, ut in altum ferrentur. cum quibus una descendit omnis, prope dixerim, turba, quae in urbe erat, tum civium, tum peregrinorum. Et ipsi quidem Atticae regionis incolae, ut suos quique prosequerentur: alii quidem sodales, alii vero cognatos, alii vero filios. Et cum spe pariter ac lamentis eos prosequebantur: spe quidem, quod res illas Siculas in suam potestatem redactum iri sperarent; lamentis vero, quod dubitarent, an unquam amplius suos illuc euntes essent visuri: quia secum ipsi reputabant, quam procul ab agri sui finibus mitterentur.

λα'. Καὶ ἐν τῷ παρόντι καιρῷ, ὡς ἤδη ἔμελλον μετὰ δύνων ἀλλήλους ἀπολιπεῖν, μᾶλλον αὐτοὺς ἐσῄει τὰ ια ἢ ὅτε ἐψηφίζοντο πλεῖν· ὅμως δὲ τῇ παρούσῃ ῥώμῃ . τὸ πλῆθος ἑκάστων ὧν ἑώρων, τῇ ὄψει ἀνεθάρσουν. οἱ ξένοι, καὶ ὁ ἄλλος ὄχλος κατὰ θέαν ἦκεν, ὡς ἐπὶ ιόχρεων καὶ ἄπιστον διάνοιαν. παρασκευὴ γὰρ αὕτη ὡτη ἐκπλεύσασα μιᾶς πόλεως δυνάμει Ἑλληνικῇ, λυτελεστάτη δὴ καὶ εὐπρεπεστάτη τῶν εἰς ἐκεῖνον τὸν όνον ἐγένετο. ἀριθμῷ δὲ νεῶν, καὶ ὁπλιτῶν, καὶ ἡ ἐς πίδαυρον μετὰ Περικλέους, καὶ ἡ αὐτὴ ἐς Ποτίδαιαν τὰ Ἄγνωνος οὐκ ἐλάσσων ἦν. τετράκις γὰρ χίλιοι λῖται αὐτῶν Ἀθηναίων, καὶ τριακόσιοι ἱππεῖς, καὶ ήρεις ἑκατὸν, καὶ Λεσβίων καὶ Χίων πεντήκοντα, καὶ

XXXI. Et in praeſentia, cum alii alios cum periculis n mutuo relicturi eſſent, pericula tunc in mentem ipſis igis veniebant, quam cum hanc expeditionem decerne-nt: verumtamen propter praeſentem potentiam, & mul-adinem rerum ſingularum, quas in hoc apparatu cer-bant, harum ſpectaculo animos recolligebant. Peregrini ro, & cetera multitudo ad ſpectaculum perrexit, ut ad n viſu dignam, ac opinione maiorem. Hic enim appa-tus, qui primus ex una civitate cum Graecorum copiis ofectus eſt, ſumtuoſiſſimus atque magnificentiſſimus fuit nnium, qui ad illam diem ex Graecis civitatibus emiſſi erunt. Nam navium & gravis armaturae militum nume-, & ille apparatus, qui cum Pericle in agrum Epidau-um miſſus eſt, & alter ille, qui cum Agnone ad Poti-aeam miſſus eſt, non erat inferior hoc apparatu. Nam illo erant ex ipſis Athenienſibus quatuor millia militum raviter armatorum, & trecenti equites, & centum trire-

ξύμμαχοι ἔτι πολλοὶ ξυνέπλευσαν. ἀλλὰ ἐπί τε Βραχεῖ πλῷ ὡρμήθησαν, καὶ παρασκευῇ Φαύλῃ. οὗτος δὲ ὁ στόλος, ὡς χρόνιός τε ἐσόμενος, καὶ κατ' ἀμφότερα, οὗ ἂν δέῃ, καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐξαρτυθείς, τὸ μὲν ναυτικὸν μεγάλαις δαπάναις τῶν τε τριπράρχων καὶ τῆς πόλεως ἐκπονηθέν, τοῦ μὲν δημοσίου δραχμὴν τῆς ἡμέρας τῷ ναύτῃ ἑκάστῳ διδοντος, καὶ ναῦς παρασχόντος κενὰς, ἑξήκοντα μὲν ταχείας, τεσσαράκοντα δὲ ὁπλιταγωγοὺς, καὶ ὑπηρεσίας ταύταις τὰς κρατίστας τῶν τριπράρχων, ἐπιφοράς τε, πρὸς τῷ ἐκ δημοσίου μισθῷ, διδόντων τοῖς θρανίταις τῶν ναυτῶν καὶ ταῖς ὑπηρεσίαις, καὶ τἆλλα σημείοις καὶ κατασκευαῖς πολυτελέσι χρησαμένων, καὶ ἐς τὰ μακρότατα προθυμηθέντος ἑνὸς ἑκά-

mes, & Lesbiorum atque Chiorum quinquaginta, praeterea multi ſocii ad eandem expeditionem cum illis proficiſcebantur. Sed Pericles & Agnon in brevem expeditionem, & cum tenui apparatu profecti ſunt. Sed haec expeditio, quippe quod diuturna futura eſſet, utraque ratione, utra opus ei fuiſſet, & navibus ſimul & peditatu erat inſtructa. Et claſſis quidem magnis trierarchorum & reipublicae ſumtibus erat laborioſe parata. Nam reſpublica quidem ſingulas drachmas ſingulis nautis quotidie dabat, & naves inanes ſexaginta quidem veloces, quadraginta vero ad gravis armaturae milites vehendos ſuppeditarat. Trierarchi vero praeſtantiſſimos miniſtros his, & praeter publicum ſtipendium etiam extraordinarium de ſuis privatis fortunis dabant illis nautis, qui Thranitae vocantur, & praeſtantiſſimis navium miniſtris. Et ceteris etiam in rebus, ſignis & artificiis ſumtuoſis inſtruxerant; & eorum unuſquiſque ſummum ſtudium ad hoc adhibue-

ιυ, ὅπως αὐτῷ τινι εὐπρεπείᾳ τε ἡ ναῦς μάλιστα
σέξει, καὶ τῷ ταχυναυτεῖν. τὸ δὲ πεζὸν καταλόγοις
χρηστοῖς ἐκκριθὲν, καὶ ὅπλων καὶ τῶν περὶ τὸ σῶμα
ευῶν μεγάλῃ σπουδῇ πρὸς ἀλλήλους ἀμιλληθέν.
έβη δὲ πρός τε σφᾶς αὐτοὺς ἅμα ἔριν γενέσθαι, ᾧ
ἕκαστος προσετάχθη, καὶ ἐς τοὺς ἄλλους Ἕλληνας
ίδειξιν μᾶλλον εἰκασθῆναι τῆς δυνάμεως καὶ ἐξου-
ις, ἢ ἐπὶ πολεμίους παρασκευήν. εἰ γάρ τις ἐλογί-
το τήν τε τῆς πόλεως ἀνάλωσιν δημοσίαν, καὶ τῶν
ατευομένων τὴν ἰδίαν, τῆς μὲν πόλεως, ὅσα τε ἤδη
σετετελέκει, καὶ ἃ ἔχοντας τοὺς στρατηγοὺς ἀπέ-
λλε· τῶν δὲ ἰδιωτῶν, ἅ, τε περὶ τὸ σῶμά τις καὶ
ήραρχος ἐς τὴν ναῦν ἀναλώκει, καὶ ὅσα ἔτι ἔμελλεν
ιλώσειν· χωρὶς δ' ἃ εἰκὸς ἦν, καὶ ἄνευ τοῦ ἐκ δημο-

, ut ſua navis inter ceteras & aliquo decore & cele-
te longe praeſtaret. Peditatus vero conſcriptus fuerat
:ctu accuratiſſime habito, & magno ſtudio inter ſe cer-
erant armorum & veſtitus elegantia. Contigit autem,
ſimul & illi inter ſe certarent de illa re, quae unicui-
: fuerat aſſignata; & apud ceteros Graecos hoc poten-
potius ac magnarum opum oſtentatio videretur, quam
erſus hoſtem apparatus. Si quis enim rationem iniiſſet
ſumtuum, quos civitas publice & unuſquiſque militum
vatim fecerat, tum ea, quae civitas iam ante eroga-
at, tum ea, quae imperatoribus, quos mittebat, ſe-
n abſportanda dederat, tum etiam ea, quae unuſquiſ-
: privatorum in corporis cultum, & Trierarchus in
m navem impenderat, aut quae praeterea in poſte-
n erat impenſurus: praeter ea, quae veriſimile erat
umquemque, praeter publicum ſtipendium, praeparaſſe

σίου μισθοῦ, πάντα τινὰ παρασκευάσασθαι ἐφόδιον, ὡς ἐπὶ χρόνιον στρατείαν· καὶ ὅσα ἐπὶ μεταβολῇ τις ἢ στρατιώτης ἢ ἔμπορος ἔχων ἔπλει· πολλὰ ἂν τάλαντα εὑρέθη ἐκ τῆς πόλεως τὰ πάντα ἐξαγόμενα. καὶ ὁ στόλος οὐχ ἧσσον τόλμης τε θάμβει καὶ ὄψεως λαμπρότητι περιβόητος ἐγένετο, ἢ στρατιᾶς πρὸς οὓς ἐπῆσαν ὑπερβολῇ, καὶ ὅτι μέγιστος ἤδη διάπλους ἀπὸ τῆς οἰκείας, καὶ ἐπὶ μεγίστῃ ἐλπίδι τῶν μελλόντων, πρὸς τὰ ὑπάρχοντα ἐπεχειρήθη.

λβ'. Ἐπειδὴ δὲ αἱ νῆες πλήρεις ἦσαν, καὶ ἐσέκειτο πάντα ἤδη ὅσα ἔχοντες ἔμελλον ἀνάξεσθαι, τῇ μὲν σάλπιγγι σιωπὴ ὑπεσημάνθη, εὐχὰς δὲ τὰς νομιζομένας πρὸ τῆς ἀναγωγῆς, οὐ κατὰ ναῦν ἑκάστην, ξύμπαντες δὲ ὑπὸ κήρυκος ἐποιοῦντο· κρατῆράς τε κεράσαντες παρ'

viatici cauſa, quippe quod ad diuturnam militiam iturus eſſet; item quaecunque vel miles, vel mercator negotiationis gratia ſecum tulit: is profecto permultorum talentorum ſummam ex urbe tunc exportatam fuiſſe comperiſſet. Haec igitur expeditio, non minus ob admirandam audaciam, & ſpectaculi ſplendorem, quam ob exercitus magnitudinem celebris fuit apud eos, adverſus quos proficiſcebantur: praeterea, quod haec navigatio ab agro domeſtico longiſſime, & rerum adipiſcendarum propoſita ſpe longe maiori, quam praeſentes ipſorum opes ferrent, tunc ſuſcepta fuiſſet.

XXXII. Cum autem naves viris impletae fuerunt, omniaque iam impoſita, quae ſecum erant laturi, tuba ſilentium indictum eſt; & ante profectionem, non in ſingulis navibus, ſed univerſi per praeconis vocem vota ſolemnia nuncuparunt: & crateras miſcentes, in aureis ar-

αν τὸ στράτευμα, καὶ ἐκπώμασι χρυσοῖς τε καὶ ἀρ-
ιοῖς οἵ τε ἐπιβάται καὶ οἱ ἄρχοντες σπένδοντες· ξυν-
ύχοντο δὲ καὶ ὁ ἄλλος ὅμιλος ὁ ἐκ τῆς γῆς, τῶν τε
λιτῶν, καὶ εἴτις ἄλλος εὔνους παρῆν σφίσι. παιωνί-
ντες δὲ, καὶ τελεώσαντες τὰς σπονδὰς, ἀνήγοντο. καὶ
ὶ κέρως τοπρῶτον ἐκπλεύσαντες, ἅμιλλαν ἤδη μέχρι
γίνης ἐποιοῦντο· καὶ οἱ μὲν, ἐς τὴν Κέρκυραν, ἔνθα
ῳ καὶ τὸ ἄλλο στράτευμα τῶν ξυμμάχων ξυνελέγε-
, ἠπείγοντο ἀφικέσθαι· ἐς δὲ τὰς Συρακούσας ἠγ-
λλετο μὲν πολλαχόθεν τὰ περὶ τοῦ ἐπίπλου, οὐ μέν-
ἐπιστεύετο ἐπὶ πολὺν χρόνον οὐδέν. ἀλλὰ καὶ γενο-
νης ἐκκλησίας, ἐλέχθησαν τοιάδε λόγοι ἀπό τε ἄλ-
ων, τῶν μὲν, πιστευόντων τὰ περὶ τῆς στρατείας τῆς
ιν Ἀθηναίων, τῶν δὲ, τὰ ἐναντία λεγόντων· καὶ Ἑρμο-

nteisque poculis cum navium defensores, tum ipsi duces
iarunt. simul autem vota faciebat & cetera turba, quae
at in terra, tam civium, quam aliorum etiam, si quis
nevolus ipsis aderat. Cum autem paeana ceciniſſent, &
ationes peregiſſent, e portu ſolventes in altum vela fe-
runt. Atque primum longa navium ſerie navigantes,
m ad Aeginam uſque curſum certatim tenuerunt. Atque
quidem Corcyram, quo & reliquus ſociorum exerci-
is conveniebat, pervenire properabant. Syracuſas vero
c variis quidem locis nuntii de infeſto huius claſſis ad-
entu afferebantur: ſed tamen diu nihil horum creditum
ſt. Quin etiam, convocata concione, huiuſmodi ſenten-
iae dictae fuerunt cum ab aliis, (quorum alii quidem cre-
lebant, vera eſſe, quae de Athenienſium expeditione nun-
iabantur, alii vero contraria dicebant) tum etiam ab
Hermocrate Hermonis filio, qui in medium progreſſus,

κράτης ὁ Ἑρμωνος παρελθὼν, αὐτοῖς, ὡς σαφῶς οἰόμενος εἰδέναι τὰ περὶ αὐτῶν, ἔλεγε, καὶ παρήνει τοιάδε.

λγ'. Ἄπιστα μὲν ἴσως, ὥσπερ καὶ ἄλλοι τινὲς, δόξω ὑμῖν περὶ τοῦ ἐπίπλου τῆς ἀληθείας λέγειν. καὶ γιγνώσκω ὅτι οἱ τὰ μὴ πιστὰ δοκοῦντα εἶναι ἢ λέγοντες, ἢ ἀπαγγέλλοντες, οὐ μόνον οὐ πείθουσιν, ἀλλὰ καὶ ἄφρονες δοκοῦσιν εἶναι. ὅμως δὲ οὐ καταφοβηθεὶς ἐπισχήσω, κινδυνευούσης τῆς πόλεως· πείθων γε ἐμαυτὸν, σαφέστερόν τι ἑτέρου εἰδὼς, λέγειν. Ἀθηναῖοι γὰρ ἐφ' ἡμᾶς (ὃ πάνυ θαυμάζετε) πολλῇ στρατιᾷ ὥρμηνται καὶ ναυτικῇ καὶ πεζικῇ· πρόφασιν μὲν, Ἐγεσταίων ξυμμαχία, καὶ Λεοντίνων κατοικίσει, τὸ δὲ ἀληθὲς, Σικελίας ἐπιθυμία, μάλιστα δὲ τῆς ἡμετέρας πόλεως· ἡγούμενοι, εἰ ταύτην σχοῖεν, ῥαδίως καὶ τἆλλα ἕξειν. ὡς οὖν ἐν τάχει παρεσομένων, ὁρᾶτε ἀπὸ τῶν ὑπαρχόν-

quippe perſuaſum haberet, ſe plane ſcire, quae de illis rebus ferebantur, ipſis haec dixit, ac ſuaſit.

XXXIII. *Incredibilia* quidem, quemadmodum & alii nonnulli, forſitan & ego apud vos de certiſſimo claſſis hoſtilis adventu dicere videbor. Illud autem probe novi, eos, qui vel dicunt, vel nuntiant res, quae fidem ſuperant, non ſolum non perſuadere, verum etiam amentes videri. Verumtamen, cum reipublicae periculum impendeat, non idcirco deterritus abſtinebo: quia perſuaſum habeo, me aliquid exploratius dicturum, quam quemvis alium, quod hoc ſciam. Athenienſes enim adverſus nos (quod vehementer admiramini) cum ingenti exercitu & navali & pedeſtri veniunt: hoc quidem praetextu, ut Ægeſtaeis ſociis auxilium ferant, & Leontinos in ſuas ſedes reſtituant; ſed re vera, Siciliae, praecipue vero noſtrae urbis cupiditate, exiſtimantes, ſi hanc obtineant, ſe ceteras etiam Siciliae partes facile obtentu-

ων ὅτῳ τρόπῳ κάλλιστα ἀμυνεῖσθε αὐτοὺς, καὶ μήτε καταφρονήσαντες, ἄφρακτοι ληφθήσεσθε, μήτε ἀπιστήσαντες, τοῦ ξύμπαντος ἀμελήσετε. εἰ δέ τῳ καὶ πιστὰ, τὴν τόλμαν αὐτῶν καὶ δύναμιν μὴ ἐκπλαγῇ. οὔτε γὰρ βλάπτειν ἡμᾶς πλείω οἷοί τε ἔσονται ἢ πάσχειν· οὔθ' ὅτι μεγάλῳ στόλῳ ἐπέρχονται, ἀνωφελεῖς· ἀλλὰ πρός τε τοὺς ἄλλους Σικελιώτας πολὺ ἄμεινον· μᾶλλον γὰρ ἐθελήσουσιν ἐκπλαγέντες ἡμῖν ξυμμαχεῖν. καὶ ἢν ἄρα ἢ κατεργασώμεθα αὐτοὺς, ἢ ἀπράκτους ὧν ἐφίενται ἀπώσωμεν, (οὐ γὰρ δὴ μὴ τύχωσί γε ὧν προσδέχονται φοβοῦμαι) κάλλιστον δὴ ἔργων ἡμῖν ξυμβήσεται, καὶ οὐκ ἀνέλπιστον ἔμοιγε. ὀλίγοι γὰρ δὴ στόλοι μεγάλοι ἢ Ἑλλήνων, ἢ βαρβάρων, πολὺ ἀπὸ τῆς ἑαυτῶν ἀπάραντες, κατώρθωσαν. οὔτε γὰρ πλείους τῶν

ros. *Quoniam igitur propediem huc ſunt appulſuri, videte, qua ratione pro viribus ipſos honeſtiſſime propulſaturi ſitis; & cavete, ne per hoſtium contemtionem, imparati opprimamini, neve nuntiis fidem non habentes, rerum ſummam negligatis. Quod ſi cui etiam res credibiles dicere videbor, illorum audaciam ac potentiam is ne reformidet; nam non magis nos laedere, quam a nobis laedi poterunt. Quod autem cum magna claſſe veniunt, hoc modo nobis non inutiles erunt. Immo vero etiam apud ceteros Sicilienſes hoc nobis erit longe melius: facilius enim illorum adventu territi ſe nobis ſocios adiungere volent. Et ſi forte vel ſubegerimus ipſos, vel ea, quae cupiunt, non adeptos repulerimus, (non enim vereor, ne conſequantur, quod exſpectant) praeclariſſimi facinoris gloria nobis continget; neque mihi ſaltem deſperandum. Paucae enim aut Graecorum aut barbarorum magnae claſſes, procul ab agro domeſtico profectae, rem feliciter geſſerunt. Nam neque veniunt numero ſuperiores incolis & vicinis: (omnes enim prae*

ἐνειχόντων καὶ ἀστυγειτόνων ἔρχονται· (πάντα γὰρ δὴ ὑπὸ δέους ξυνίσταται) ἤν τε δι' ἀπορίαν τῶν ἐπιτηδείων ἐν ἀλλοτρίᾳ γῇ σφαλῶσι, τοῖς ἐπιβουλευθεῖσιν ὄνομα, κἂν περὶ σφίσιν αὐτοῖς τὰ πλείω πταίσωσιν, ὅμως καταλείπουσιν. ὅπερ καὶ Ἀθηναῖοι αὐτοὶ οὗτοι, τοῦ Μήδου παρὰ λόγον πολλὰ σφαλέντος, [ἐπὶ] τῷ ὀνόματι ὡς ἐπ' Ἀθήνας ἥξει, ηὐξήθησαν. καὶ ἡμῖν οὐκ ἀνέλπιστον τὸ τοιοῦτο ξυμβῆναι.

λδ'. Θαρσοῦντες οὖν τά τε αὐτοῦ παρασκευαζώμεθα, καὶ ἐς τοὺς Σικελοὺς πέμποντες, τοὺς μὲν μᾶλλον βεβαιωσώμεθα, τοῖς δὲ Σικελίαν καὶ ξυμμαχίαν πειρώμεθα ποιεῖσθαι· ἔς τε τὴν ἄλλην Σικελίαν πέμπωμεν πρέσβεις, δηλοῦντες ὡς κοινὸς ὁ κίνδυνος, καὶ ἐς τὴν Ἰταλίαν, ὅπως ἢ ξυμμαχίαν ποιῶνται ἡμῖν, ἢ μὴ δέχωνται Ἀθηναίους. δοκεῖ δέ μοι καὶ ἐς Καρχηδόνα

metu congregabuntur) & ſi propter inopiam rerum neceſſariarum in alieno ſolo rem male geſſerint, quamvis ipſimet magna ex parte ſibi cladem invexerint, tamen nomen & victoriae gloriam illis relinquent, quibus inſidiati fuerint. Qua ratione etiam hi ipſi Athenienſes creverunt, quod Medus praeter opinionem ſaepius offenderit, dum praedicaret, ſe unam civitatem, Athenas videlicet, bello petere. Cui rei ſimile quiddam nobis etiam eventurum non eſt deſperandum.

XXXIV. *Confidenter igitur & res in hoc ipſo loco praeparemus, & nuntiis ad Siculos miſſis, hos quidem magis confirmemus, cum aliis vero amicitiam atque ſocietatem inire conemur. Et in reliquas Siciliae partes legatos mittamus, & hoc periculum commune eſſe demonſtremus; & in Italiam, ut aut ſocietatem nobiſcum faciant, aut ne recipiant Athenienſes. Exiſtimo autem, ſatius eſſe Carthaginem etiam legatos mittere. Nam ne ipſis qui-*

:ειvον εἶναι πέμψαι. οὐ γὰρ ἀνέλπιστον αὐτοῖς, ἀλλ'
ι διὰ Φόβου εἰσὶ μή ποτε Ἀθηναῖοι αὐτοῖς ἐπὶ τὴν πό-
ν ἔλθωσιν. ὥστε τάχ' ἂν ἴσως νομίσαντες, εἰ τάδε
ροήσονται, καὶ ἂν σφεῖς ἐν πόνῳ εἶναι, ἐθελήσειαν
μῖν ἤτοι κρύφα γε, ἢ φανερῶς, ἢ ἐξ ἑνὸς γέ του τρόπου
:μῦναι. δυνατοὶ δέ εἰσι μάλιστα τῶν νῦν, βουληθέντες.
χρυσὸν γὰρ καὶ ἄργυρον πλεῖστον κέκτηνται, ὅθεν ὅ, τε
τόλεμος, καὶ τἆλλα εὐπορεῖ. πέμπωμεν δὲ καὶ ἐς τὴν
Λακεδαίμονα καὶ ἐς Κόρινθον, δεόμενοι δεῦρο κατὰ τά-
χος βοηθεῖν, καὶ τὸν ἐκεῖ πόλεμον κινεῖν. ὃ δὲ μάλιστα
ἐγώ τε νομίζω ἐπίκαιρον, ὑμεῖς τε, διὰ τὸ ξύνηθες ἧσυ-
χον, ἥκιστ' ἂν ὀξέως πείθοισθε, ὅμως εἰρήσεται. Σικε-
λιῶται γὰρ εἰ θέλοιμεν ξύμπαντες, εἰ δὲ μή, ὁτιπλεῖ-
στοι μεθ' ἡμῶν, καθελκύσαντες ἅπαν τὸ ὑπάρχον ναυ-
τικὸν μετὰ δυοῖν μηνοῖν τροφῆς, ἀπαντῆσαι Ἀθηναίοις ἐς
Τάραντα καὶ ἄκραν Ἰαπυγίαν, καὶ δῆλον ποιῆσαι αὐ-

dem eſt dubitandum: ſed in perpetuo metu degunt, ne quando Athenienſes contra ſuam urbem veniant. Quamobrem fortaſſe eximantes, ſi res iſtas neglexerint, ſe quoque laboraturos, aut clam, aut palam, aut quovis alio modo nobis opem ferre volent. Et profecto, ſi velint, hoc facere poterunt vel maxime omnium, qui nunc rerum potiuntur. nam maximam auri argentique vim poſſident, unde & bellum & cetera commode adminiſtrantur. Lacedaemonem etiam & Corinthum legatos mittamus, ac oremus, ut celeriter auxilium huc mittant, & bellum illic adverſus Athenienſes moveant. Quod autem ego maxime opportunum arbitror, & quod vos propter ſolitam deſidiam minime celeriter probabitis, tamen a me dicetur. Si enim univerſi Sicilienſes, ſin minus, quam plurimi nobiſcum, omnem praeſentem claſſem cum duorum menſium cibariis deducere velimus, & Athenienſibus ad Tarentum &

τοῖς, ὅτι οὐ περὶ τῇ Σικελίᾳ πρότερον ἔσται ὁ ἀγὼν, ἢ τοῦ ἐκείνους περαιωθῆναι τὸν Ἰόνιον· μάλιστ' ἂν αὐτοὺς ἐκπλήξαιμεν, καὶ ἐς λογισμὸν καταστήσαιμεν ὅτι ὁρμώμεθα μὲν ἐκ Φιλίας χώρας Φύλακες, (ὑποδέχεται γὰρ ἡμᾶς Τάρας) τὸ δὲ πέλαγος αὐτοῖς πολὺ περαιοῦσθαι μετὰ πάσης τῆς παρασκευῆς, χαλεπὸν δὲ, διὰ πλοῦ μῆκος, ἐν τάξει μεῖναι· καὶ ἡμῖν ἂν εὐεπίθετος εἴη, βραδεῖά τε καὶ κατὰ λόγον προσπίπτουσα. εἰ δ' αὖ τῷ ταχυναυτοῦντι ἀθροωτέρῳ κουφίσαντες προσβάλοιεν, εἰ μὲν κώπαις χρήσαιντο, ἐπιβοίμεθ' ἂν κεκμηκόσιν· εἰ δὲ μὴ δοκοίη, ἔστι καὶ ὑποχωρῆσαι ἡμῖν ἐς Τάραντα. οἱ δὲ, μετ' ὀλίγων ἐφοδίων ὡς ἐπὶ ναυμαχίᾳ περαιωθέντες, ἀποροῖεν ἂν κατὰ χωρία ἔρημα, καὶ ἢ μένοντες πολιορκοῖντο ἂν, ἢ πειρώμενοι παραπλεῖν, τήν τε ἄλλην παρα-

ad Iapygiam promontorium occurrere, ipſiſque demonſtrare, non de Sicilia prius ipſis certamen fore, quam de Ionio mari ab ipſis traiiciendo; ipſos maxime terrebimus, & cogemus ipſos hoc conſiderare, nos quidem ex agro amico, regionis noſtrae cuſtodes, proficiſci, (Tarentum enim nos excipiet) ipſis vero cum toto claſſis apparatu pelagus ingens eſſe tranſeundum, & propter navigationis longitudinem difficile eſſe ordinem ſervare: nobis vero facile fore ipſorum claſſem lente navigantem & ordine, nec frequentem contra nos venientem invadere. Quod ſi cum ea parte claſſis, quae celeritate praeſtat, navibus exoneratis atque confertis nos adoriantur, & remis utantur; ipſos remigio iam defeſſos aggrediemur. ſin eos invadere non placuerit, Tarentum etiam noſmet recipere nobis licebit. Illi vero, ſi cum exiguo commeatu, tanquam ad navale proelium, mare tranſierint, inopia laborabunt in locis deſertis, & aut in iis manentes obſidebuntur, aut praetervehi conantes, & ceterum apparatum relinquent, & incer-

ɛευὴν ἀπολείποιεν ἂν, καὶ τὰ τῶν πόλεων οὐκ ἂν βέαια ἔχοντες, εἰ ὑποδέξοιντο, ἀθυμοῖεν. ὥστε ἔγωγε ούτῳ τῷ λογισμῷ ἡγοῦμαι ἀποκλειομένους αὐτοὺς, ὐδ' ἂν ἀπᾶραι ἀπὸ Κερκύρας, ἀλλ' ἢ διαβουλευσαένους, καὶ κατασκοπαῖς χρωμένους ὁπόσοι τε ἐσμὲν ɛαὶ ἐν ᾧ χωρίῳ, ἐξωσθῆναι ἂν τῇ ὥρᾳ ἐς χειμῶνα, ἢ καταπλαγέντας τῷ ἀδοκήτῳ, καταλῦσαι ἂν τὸν πλοῦν· ἄλλως τε καὶ τοῦ ἐμπειροτάτου τῶν στρατηγῶν (ὡς ἐγὼ ἀκούω) ἄκοντος ἡγουμένου, καὶ ἀσμένου ἂν προφασιν λαβόντος, εἴτι ἀξιόχρεων ἀΦ' ἡμῶν ὀΦθείη. ἀγγελούμεθα δ' ἂν εὖ οἶδ' ὅτι ἐπὶ τὸ πλεῖον. τῶν δ' ἀνθρώπων πρὸς τὰ λεγόμενα καὶ αἱ γνῶμαι ἵστανται, καὶ τοὺς προεπιχειροῦντας, ἢ τοῖς γε ἐπιχειροῦσι προδηλοῦντας ὅτι ἀμυνοῦνται, μᾶλλον πεΦόβηνται, ἰσοκινδύνους ἡγούμενοι. ὅπερ ἂν νῦν Ἀθηναῖοι πάθοιεν. ἐπέρχονται

ei, an aliquae civitates ſint recepturae, animis conſternabuntur. Quamobrem ego ſaltem arbitror, eos hac ratiocinatione deterritos, ne ſoluturos quidem ex Corcyra; ſed aut dum ibi conſultabunt, & dum mittent, qui explorent, quot numero ſimus, & quo in loco, ipſorum adventum anni tempeſtate in hiemem extractum iri; aut ipſos inopinata re perculſos navigationem deſituros. Praecipue vero quod (quantum ego audio) peritiſſimus illorum dux exercitum invitus ducat, & lubenter occaſionem ſit arrepturus, ſi quae copiae pares ad reſiſtendum a nobis oſtendantur. Illud autem certo ſcio, rumorem de noſtris viribus, ut longe maioribus, quam re vera ſint, emanaturum. Quales autem ſunt ipſi rumores, qui circumferuntur, tales etiam ſunt hominum opiniones; & magis horrent eos, qui priores invadunt, quam eos, qui mature aggreſſuris ſignificant, ſe ad vim ipſorum propulſandam paratos eſſe, quod eos in pari diſcrimine futuros putent. Id quod

γὰρ ἡμῖν ὡς οὐκ ἀμυνουμένοις, δικαίως κατεγνωκότες ὅτι αὐτοὺς οὐ μετὰ Λακεδαιμονίων ἐφθείρομεν. εἰ δ' ἴδοιεν παρὰ γνώμην τολμήσαντας, τῷ ἀδοκήτῳ μᾶλλον ἂν καταπλαγεῖεν ἢ τῇ ἀπὸ τοῦ ἀληθοῦς δυνάμει. πείθεσθε οὖν, μάλιστα μὲν ταῦτα τολμήσαντες, εἰ δὲ μή, ὁτιτάχιστα τἆλλα ἐς τὸν πόλεμον ἑτοιμάζειν. καὶ παραστῆναι παντὶ, τὸ μὲν καταφρονεῖν τοὺς ἐπιόντας, ἐν τῶν ἔργων τῇ ἀλκῇ δείκνυσθαι, τὸ δ' ἤδη τὰς μετὰ φόβου παρασκευὰς ἀσφαλεστάτας νομίσαντας ὡς ἐπικινδύνους πράσσειν, χρησιμώτατα ἂν ξυμβῆναι. οἱ δὲ ἄνδρες καὶ ἐπέρχονται, καὶ ἐν πλῷ εὖ οἶδ' ὅτι ἤδη εἰσὶ, καὶ ὅσον οὔπω πάρεισι.

λε'. Καὶ ὁ μὲν Ἑρμοκράτης τοσαῦτα εἶπε. τῶν δὲ Συρακουσίων ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι

Athenienſibus nunc accidet. Nos enim ut non repugnaturos invadunt, merito nos contemnentes, quod ipſos cum Lacedaemoniis coniunctos non profligarimus. Quod ſi praeter ſuam opinionem nos audere viderint, hoc inopinato noſtro conatu magis terrebuntur, quam vero noſtrae potentiae apparatu. Mihi igitur aſſentiamini, potiſſimum quidem audentes haec, quae vobis ſuadeo: ſin minus, ſaltem ut ceteras res ad bellum neceſſarias primo quoque tempore praeparetis. Cuilibet autem in mentem venire oportet, contemtionem quidem invadentium, in ipſo proeliorum ardore, dum fortiter certatur, demonſtrari: illud vero maximam utilitatem nobis allaturum, ſi iam, antequam hoſtes huc appellant, cum metu tutiſſimos apparatus praeparemus, ita ut eos periculoſos exiſtimemus. Nam hoſtes & contra nos veniunt, & in ipſo itinere (quod probe ſcio) iam ſunt, quin etiam tantum non iam adſunt.

XXXV. Atque Hermocrates quidem haec dixit. At inter Syracuſanos ingens altercatio exorta eſt, quod alii qui-

ιν, οἱ μὲν, ὡς οὐδενὶ ἂν τρόπῳ ἔλθοιεν οἱ Ἀθηναῖοι
ι", ἀληθῆ ἐστιν ἃ λέγει· τοῖς δὲ, εἰ καὶ ἔλθοιεν, τί ἂν
ίσειαν αὐτοὺς, ἔ, τι οὐκ ἂν μεῖζον ἀντιπάθοιεν. ἄλ-
ι δὲ καὶ πάνυ καταφρονοῦντες, ἐς γέλωτα ἔτρεπον τὸ
ρᾶγμα. ὀλίγον δ' ἦν τὸ πιστεῦον τῷ Ἑρμοκράτει, καὶ
ὀβούμενον τὸ μέλλον. παρελθὼν δ' αὐτοῖς Ἀθηναγό-
ας, ὃς δήμου τε προστάτης ἦν, καὶ ἐν τῷ παρόντι πι-
ανώτατος τοῖς πολλοῖς, ἔλεγε τοιάδε.

λστ'. Τοὺς μὲν Ἀθηναίους ὅστις μὴ βούλεται οὕτω
ιαπῶς φρονῆσαι, καὶ ὑποχειρίους ἡμῖν γενέσθαι ἐνθάδε
ελθόντας, ἢ δειλός ἐστιν, ἢ τῇ πόλει οὐκ εὔνους. τοὺς δ'
ἀγγέλλοντας τὰ τοιαῦτα, καὶ περιφόβους ὑμᾶς ποιοῦν-
τας, τῆς μὲν τόλμης οὐ θαυμάζω, τῆς δὲ ἀξυνεσίας, εἰ
μὴ οἴονται ἔνδηλοι εἶναι. οἱ γὰρ δεδιότες ἰδίᾳ τι, βούλον-

dem Athenienſes nullo modo venturos dicerent, & quae Hermocrates dixerat, vera eſſe negarent: alii vero dicerent, quid nobis facient, quin & ipſi viciſſim aliud hoc ipſo gravius a nobis ſint accepturi? Quin etiam alii rem iſtam prorſus contemnebant, & in riſum convertebant. Pauci vero erant, qui Hermocrati fidem haberent, & futurum formidarent. Athenagoras autem, qui populi princeps, & tunc temporis propter popularem facundiam apud plebem gratioſiſſimus erat, in medium progreſſus haec ipſis dixit.

XXXVI. *Quisquis non cupit, Athenienſes eo dementiae progredi, ut huc profecti in noſtram poteſtatem rediganiur, is aut timidus eſt, aut reipublicae non benevolus. Illorum vero, qui res huiuſmodi nuntiant, magnumque metum vobis incutiunt, audaciam quidem non miror; ſed imprudentiam, ſi ſua conſilia non patere putant. Qui enim privatim aliquid formidant, rempubli-*

ται τὴν πόλιν ἐς ἔκπληξιν καθιστάναι, ὅπως τῷ κοινῷ σώβῳ τὸ σφέτερον ἐπηλυγάζωνται. καὶ νῦν αὗται αἱ ἀγγελίαι τοῦτο δύνανται· οὐκ ἀπὸ ταυτομάτου, ἐκ δὲ ἀνδρῶν, οἵπερ ἀεὶ τάδε κινοῦσι, ξύγκεινται. ὑμεῖς δέ, ἢν εὖ βουλεύησθε, οὐκ ἐξ ὧν οὗτοι ἀγγέλλουσι σκοποῦντες, λογιεῖσθε τὰ εἰκότα, ἀλλ' ἐξ ὧν ἂν ἄνθρωποι δεινοὶ καὶ πολλῶν ἔμπειροι (ὥσπερ ἐγὼ Ἀθηναίους ἀξιῶ) δράσειαν. οὐ γὰρ αὐτοὺς εἰκὸς Πελοποννησίους τε ὑπολιπόντας, καὶ τὸν ἐκεῖ πόλεμον μήπω βεβαίως καταλελυμένους, ἐπ' ἄλλον πόλεμον οὐκ ἐλάσσω ἐκόντας ἐλθεῖν. ἐπεὶ ἔγωγε ἀγαπᾶν οἶομαι αὐτοὺς ὅτι οὐχ ἡμεῖς ἐπ' ἐκείνους ἐρχόμεθα, πόλεις τοσαῦται, καὶ οὕτω μεγάλαι.

λζ'. Εἰ δὲ δή, ὥσπερ λέγονται, ἔλθοιεν, ἱκανωτέραν ἡγοῦμαι Σικελίαν Πελοποννήσου διαπολεμῆσαι, ὅσῳ κατὰ πάντα ἄμεινον ἐξήρτυται· τὴν δὲ ἡμετέραν πόλιν

cam in magno timore conſtituere volunt, ut publico metu ſuum occultent. Et nunc iſti rumores eo ſpectant: neque enim ſua ſponte diſſeminantur, ſed ab hominibus componuntur, qui ſemper talles motus moliuntur. Vos vero, ſi recte conſultaveritis, non ex rerum, quas iſti nuntiant, conſideratione, deliberabitis de rebus, quas facere decet; ſed ex iis, quae viri prudentes & multarum rerum periti (quales ego Athenienſes eſſe puto) facerent. Non eſt enim credibile, ipſos, Peloponneſus relictis, belloque nondum illic plane finito, ad alterum bellum, illo non minus, ultro venire. Siquidem ego exiſtimo, ipſos putare ſecum praeclare agi, quod nos, qui tot atque tam magnas civitates habemus, bellum ipſis non inferamus.

XXXVII. *Quin etiam ſi venerint, ut fertur, exiſtimo, Siciliam plus virium habituram ad eos debellandos, quam Peloponneſum, quo eſt omnis generis apparatu inſtructior; noſtram-*

αὐτὴν, τῆς νῦν στρατιᾶς, ὥς φασιν, ἐπισύσης, καὶ εἰ δὶς τοσαύτη ἔλθοι, πολὺ κρείσσω εἶναι. οἷς γ' ἐπίσταμαι οὔθ' ἵππους ἀκολουθήσοντας, οὐδ' αὐτόθεν πορισθησομένους, εἰ μὴ ὀλίγους τινὰς παρ' Ἐγεσταίων, οὐδ' ἐπλίτας ἰσοπληθεῖς τοῖς ἡμετέροις, ἐπὶ νεῶν γε ἐλθόντας. μέγα γὰρ τὸ καὶ αὐταῖς ταῖς ναυσὶ κούφαις τοσοῦτον πλοῦν δεῦρο κομισθῆναι, τήν τε ἄλλην παρασκευὴν ὅσην δεῖ ἐπὶ πόλιν τοσήνδε περισθῆναι, οὐκ ὀλίγην οὖσαν. ὥστε παρὰ τοσοῦτον γιγνώσκω, μόλις ἄν μοι δοκοῦσιν, εἰ πόλιν ἑτέραν τοσαύτην, ὅσαι Συρακοῦσαί εἰσιν, ἔλθοιεν ἔχοντες, καὶ ὅμορον οἰκήσαντες τὸν πόλεμον ποιοῖντο, οὐκ ἂν παντάπασι διαφθαρῆναι· ἥπου γε δὴ ἐν πάσῃ πολεμίᾳ Σικελίᾳ. ξυστήσεται γὰρ στρατοπέδῳ τε ἐκ νεῶν ἱδρυθέντι, καὶ ἐκ σκηνιδίων, καὶ ἀναγκαίας

que civitatem ſolam, hoc exercitu, qui, ut iſti dicunt, nunc contra nos venit, atque adeo bis tanto, longe ſuperiorem eſſe duco: quippe quod ſciam, ipſos nullum equitatum ſecum adducturos, qui ſequatur, neque ex hac ipſa regione comparaturos, niſi perexiguum quendam ab Egeſtaeis, neque gravis armaturae militum numerum noſtro parem, quia navibus vehentur. Arduum enim fuerit vel ſolis navibus expeditis, tantum navigationis curſum huc uſque conficere, & ceterum apparatum ferre, quantum adverſus tantam civitatem ſuppetere oportet, qui profecto parvus eſſe non debet. Quamobrem ab hac opinione ego adeo diſſentio, ut, ſi Athenienſes aliam urbem tantam, quantae ſunt Syracuſae, in Sicilia obtinerent, & contra nos illinc venirent, & urbem Syracuſis finitimam incolerent, & ex ea prodeuntes, nobis bellum facerent, vix totius exercitus internecionem vitare poſſe videantur. Iam vero multo minus, ſi tota Sicilia ſit ipſorum hoſtis. Nam illorum exercitus in caſtris, quae ex navibus fient, conſiſtet, &

παρασκευῆς, οὐκ ἐπὶ πολὺ ὑπὸ τῶν ἡμετέρων ἱππέων ἐξιόντες. τὸ δὲ ξύμπαν, οὐδ' ἂν κρατῆσαι αὐτοὺς τῆς γῆς ἡγοῦμαι· τοσούτῳ τὴν ἡμετέραν παρασκευὴν κρείσσω νομίζω.

λή. Ἀλλὰ ταῦτα, ὥσπερ ἐγὼ λέγω, οἵ τε Ἀθηναῖοι γιγνώσκοντες, τὰ σφέτερα αὐτῶν εὖ οἶδ' ὅτι σώζουσι, καὶ ἐνθένδε ἄνδρες οὔτε ὄντα, οὔτε ἂν γενόμενα λογοποιοῦσιν· οὓς ἐγὼ οὐ νῦν πρῶτον ἀλλ' ἀεὶ ἐπίσταμαι, ἤτοι λόγοις γε τοιοῖσδε καὶ ἔτι τούτων κακουργοτέροις, ἢ ἔργοις βουλομένους καταπλήξαντας τὸ ὑμέτερον πλῆθος, αὐτοὺς τῆς πόλεως ἄρχειν. καὶ δέδοικα μέντοι μήποτε πολλὰ πειρῶντες καὶ κατορθώσωσιν· ἡμεῖς δὲ καὶ, πρὶν ἐν τῷ παθεῖν ὦμεν, προφυλάξασθαί τε, καὶ αἰσθόμενοι ἐπεξελθεῖν. τοιγάρτοι δι' αὐτὰ ἡ πόλις ἡμῶν

se continebit, & illorum milites ex parvis tabernaculis, & apparatu neceſſario, non longe prodeuntes vagabuntur, a noſtris equitibus prohibiti. In ſumma, ne terra quidem ipſos potituros puto: adeo noſtrum apparatum hoſtili praeſtantiorem duco.

XXXVIII. *Quamobrem Athenienſes, quod haec, quae ego dico, cognoſcant, res ſuas (quod probe novi) conſervant: & quidam huius civitatis homines, ea, quae neque ſunt, neque futura ſunt, comminiſcuntur; quos ego non nunc primum, ſed ſemper ſcio, huiuſcemodi rumoribus, quin etiam aliis, qui ſunt iſtis longe maligniores, vel fallis, veſtrae multitudini terrore incuſſo, ipſos civitatis imperio potiri velle. Vereor autem, ne ſaepius idem conantes, hoc etiam aliquando conſequantur. Nos vero ignavi ſumus tum ad praecavendas iſtorum inſidias, antequam ab ipſis opprimamur; tum ad ſumendum de iſtis ſupplicium, poſtquam ipſorum inſidias cognovimus. His autem de cauſis noſtra civitas raro quidem quieſcit, ſaepe vero ſeditione laborat, & lon-*

ὀλιγάκις μὲν ἡσυχάζει, στάσεις δὲ πολλὰς καὶ ἀγῶνας οὐ πρὸς τοὺς πολεμίους πλείονας ἢ πρὸς αὐτὴν ἀναιρεῖται, τυραννίδας δὲ ἔστιν ὅτε καὶ δυναστείας ἀδίκους. ὧν ἐγὼ πειράσομαι, ἤν γε ὑμεῖς ἐθέλητε ἕπεσθαι, μήποτε ἐφ' ἡμῶν τι περιϊδεῖν γενέσθαι· ὑμᾶς μὲν τοὺς πολλοὺς πείθων, τοὺς δὲ τὰ τοιαῦτα μηχανωμένους κολάζων, μὴ μόνον αὐτοφώρους, (χαλεπὸν γὰρ ἐπιτυγχάνειν) ἀλλὰ καὶ ὧν βούλονται μέν, δύνανται δ' οὔ. τὸν γὰρ ἐχθρὸν οὐχ ὧν δρᾷ μόνον, ἀλλὰ καὶ τῆς διανοίας προαμύνεσθαι χρή, εἴπερ καὶ μὴ προφυλαξάμενός τις πρεπείσεται. τοὺς δ' αὖ ὀλίγους, τὰ μὲν ἐλέγχων, τὰ δὲ, φυλάσσων, τὰ δὲ, καὶ διδάσκων. μάλιστα γὰρ δοκῶ ἄν μοι οὕτως ἀποτρέπειν τῆς κακουργίας. καὶ δῆτα (ὃ πολλάκις ἐσκεψάμην) τί καὶ βούλεσθε, ὦ νεώτε-

ge plura certamina contra ſuos ipſius cives, quam contra hoſtes ſuſcipit; quin etiam interdum tyrannidem ac iniquum dominatum ſuſtinet. Quarum rerum (ſi modo vos meam ſententiam ſequi velitis) ego nullam unquam noſtra aetate fieri ſinam: veſtram quidem multitudinem verbis in meam ſententiam adducens, de illis vero, qui talia machinantur, ſupplicium ſumens, non ſolum in ipſo facinore deprehenſis, (arduum enim fuerit ipſos deprehendere) ſed etiam ob ea, quae volunt quidem, ſed tamen non poſſunt. Hoſtis enim non ſolum pro maleficiis, ſed etiam pro conſiliis eſt prius ulciſcendus, quam nos opprimat, ſi modo quis illius inſidias ita praecavere poſſit, ut ab eo prior non opprimatur. Paucos vero, contra, partim quidem, ut hoſtes in facinore deprehenſos, coarguens, partim vero, obſervans, partim etiam, ut cives officii ſui monens, ac docens. Sic enim potiſſimum exiſtimo fore, ut hos a maleficio deterream. Sed agite, (quod ſaepe mecum ipſe conſideravi) quidnam vultis, adoleſcentes? utrum rerum potiri? at hoc

ρει; πότερον ἄρχειν ἤδη; ἀλλ' οὐκ ἔννομον. ὁ δὲ νόμος ἐκ τοῦ μὴ δύνασθαι ὑμᾶς μᾶλλον ἢ δυναμένους ἐτέᾳ ἀτιμάζειν. ἀλλὰ δὴ μὴ μετὰ πολλῶν ἰσονομεῖσθαι; καὶ πῶς δίκαιον τοὺς αὐτοὺς μὴ τῶν αὐτῶν ἀξιοῦσθαι;

λϛ'. Φήσει τις, δημοκρατίαν οὔτε ξυνετὸν, οὔτ' ἴσον εἶναι, τοὺς δ' ἔχοντας τὰ χρήματα, καὶ ἄρχειν ἄριστα βελτίστους. ἐγὼ δέ Φημι, πρῶτα μὲν δῆμον ξύμπαν ὀνομάσθαι, ὀλιγαρχίαν δὲ, μέρος· ἔπειτα Φύλακας μὲν ἀρίστους εἶναι χρημάτων τοὺς πλουσίους, βουλεῦσαι δ' ἂν βέλτιστα τοὺς ξυνετοὺς, κρῖναι δ' ἂν ἀκούσαντας ἄριστα τοὺς πολλούς· καὶ ταῦτα ὁμοίως καὶ κατὰ μέρη καὶ ξύμπαντα ἐν δημοκρατίᾳ ἰσομοιρεῖν. ὀλιγαρχία δὲ τῶν μὲν κινδύνων τοῖς πολλοῖς μεταδίδωσι, τῶν δ' ὠΦελίμων οὐ πλεονεκτεῖ μόνον, ἀλλὰ καὶ ξύμ-

non eſt legitimum. Lex enim lata potius eſt, quod vos iuniores magiſtratus gerere nequeatis, quam ut vos ignominia afficiat, cum per aetatem poteſtis. An vero vultis non pari iure cum plebe vivere? At quo pacto iuſtum fuerit, eoſdem non iiſdem dignos cenſeri?

XXXIX. *Sed fortaſſe dixerit quis, popularem ſtatum rem eſſe neque conſultam, neque aequabilem; ſed eos, qui magnam pecuniae vim poſſident, optimos etiam eſſe ad optime imperandum. Ego vero reſpondeo, primum quidem, populi nomen univerſam rempublicam complecti; paucorum vero potentiam, partem. Deinde vero, locupletes quidem, pecuniarum optimos eſſe cuſtodes, ſed viros prudentes, praeſtantiſſimos eſſe conſultores; multitudinem vero, poſtquam res propoſitas audierit, optimum eſſe iudicem. Atque hos civium diverſos ordines, & per partes, & ſimul univerſos, in ſtatu populari iuris aequabilitate frui. Sed paucorum dominatus pericula quidem multitudini imperiti; commodorum vero non ſolum maiorem partem habet, verum etiam univerſa, ſua*

πᾶν ἀφελομένη ἔχει· ἃ ὑμῶν οἵ τε δυνάμενοι καὶ οἱ νέοι προθυμοῦνται, ἀδύνατα ἐν μεγάλῃ πόλει κατασχεῖν. ἀλλ' ἔτι καὶ νῦν, ὦ πάντων ἀξυνετώτατοι, εἰ μὴ μανθάνετε κακὰ σπεύδοντες, ἢ ἀμαθέστατοί ἐστε ὧν ἐγὼ οἶδα Ἑλλήνων, ἢ ἀδικώτατοι, εἰ εἰδότες τολμᾶτε.

μ΄. Ἀλλ' ἤτοι μαθόντες γε, ἢ μεταγνόντες, τὸ τῆς πόλεως ξύμπασι κοινὸν αὔξετε, ἡγησάμενοι τοῦτο μὲν ἂν ἴσον καὶ πλέον οἱ ἀγαθοὶ ὑμῶν, ἥπερ τὸ τῆς πόλεως πλῆθος μετασχεῖν· εἰ δ' ἄλλα βουλήσεσθε, καὶ τοῦ παντὸς κινδυνεῦσαι στερηθῆναι· καὶ τῶν τοιῶνδε ἀγγελιῶν, ὡς πρασισθανομένους, καὶ μὴ ἐπιτρέψοντας, ἀπαλλαγῆτε. ἡ γὰρ πόλις ἥδε, καὶ εἰ ἔρχονται Ἀθηναῖοι, ἀμυνεῖται αὐτοὺς ἀξίως αὐτῆς. καὶ στρατηγοί εἰσιν ἡμῖν, οἳ σκέψονται αὐτά. καὶ εἴ μή τι αὐτῶν ἀληθὲς

portione ceteris erepta, retinet. Quas res illi, qui inter vos ſunt & potentes & iuvenes, obtinere ſtudent; quas tamen in ampla civitate non poterunt. Sed nunc etiam omnium eſtis ſtultiſſimi, niſi animadvertitis, vos rem perniciosam affectare; aut omnium Graecorum, quos ego novi, eſtis imperitiſſimi, aut iniuſtiſſimi, ſi, cum ſciatis, audetis.

XL. *Verum aut a me edocti, aut mutata ſententia, quod ad univerſae reipublicae bonum ſpectat, id augeatis; ſperantes fore, ut illi, qui de vobis boni ſunt cives, horum reipublicae commodorum parem, atque adeo maiorem partem obtineant, quam cetera reipublicae multitudo. Quod ſi alia affectaritis, ſciatis, vos in periculum venturos, ne & rebus omnibus privemini. Quamobrem huiuſmodi nuntios miſſos facietis, quia veſtra conſilia praeſenſimus, neque vos haec ad exitum perducere ſinemus. Haec enim civitas, ut etiam veniant Athenienſes, ipſos tamen pro ſua dignitate propulſabit. Sunt autem nobis imperatores, qui haec vi-*

ἐστιν (ὥσπερ οὐκ οἴομαι,) οὐ πρὸς τὰς ὑμετέρας ἀγγελίας καταπλαγεῖσα, καὶ ἐλομένη ὑμᾶς ἄρχοντας, αὐθαίρετον δουλείαν ἐπιβαλεῖται· αὐτὴ δ' ἐφ' ἑαυτῆς σκεπτοῦσα, τούς τε λόγους ἀφ' ὑμῶν ὡς ἔργα δυναμένους κρινεῖ, καὶ τὴν ὑπάρχουσαν ἐλευθερίαν οὐχὶ ἐκ τοῦ ἀκούειν ἀφαιρεθήσεται, ἐκ δὲ τοῦ, ἔργῳ φυλασσομένη μὴ ἐπιτρέπειν, πειράσεται σώζειν.

μα'. Τοιαῦτα Ἀθηναγόρας εἶπε. τῶν δὲ στρατηγῶν εἷς ἀναστὰς ἄλλον μὲν οὐδένα ἔτι εἴασε παρελθεῖν, αὐτὸς δὲ πρὸς τὰ παρόντα ἔλεξε τοιάδε· Διαβολὰς μὲν οὐ σῶφρον οὔτε λέγειν τινὰς ἐς ἀλλήλους, οὔτε τοὺς ἀκούοντας ἀποδέχεσθαι· πρὸς δὲ τὰ εἰσαγγελλόμενα μᾶλλον ὁρᾶν, ὅπως εἷς τε ἕκαστος καὶ ἡ ξύμπασα πόλις καλῶς τοὺς ἐπιόντας παρασκευαζώμεθα ἀμύνεσθαι.

debunt. Quod ſi nihil horum verum fuerit, (prout ego ſuſpicor) nequaquam veſtris nuntiis exterrita civitas, vobiſque ducibus electis, ſua ſponte ſibi ſervitutis iugum imponet; ſed ipſa per ſe conſultans, & de rumoribus, quos vos ipſi diſſeminatis, quaſi idem valeant ac ipſa facta, quaeſtionem habebit: & praeſentem libertatem non propter rumores, quos a vobis ſparſos audit, amittet; ſed factis ita ſibi cavens, ut non permittat vobis ea peragere, quae cupitis, conſervare conabitur.

XLI. Atque Athenagoras haec dixit. Tunc autem unus e ducibus ſurgens, nullum quidem alium ad dicendum prodire paſſus eſt; ſed ipſe pro praeſenti rerum ſtatu haec verba fecit: *Obtrectationes quidem vel ab aliis in alios mutuo proferri, vel ab audientibus admitti, nequaquam eſt prudentiae: ſed potius pro rebus, quae nuntiantur, oportet videre, quanam ratione cum privatim, tum publice ex dignitate nos inſtruamus ad eos propulſandos, qui contra nos veniunt. Et, ſi forte nihil opus fuerit,*

καὶ ἢν ἄρα μηδὲν δεήσῃ, εὐδεμία βλάβη τοῦ τε τὸ κοινὸν κοσμηθῆναι καὶ ἵπποις καὶ ὅπλοις καὶ τοῖς ἄλλοις οἷς ὁ πόλεμος ἀγάλλεται. τὴν δ' ἐπιμέλειαν καὶ ἐξέτασιν αὐτῶν ἡμεῖς ἕξομεν, καὶ τῶν πρὸς τὰς πόλεις διαπομπῶν ἅμα ἔς τε κατασκοπὴν, καὶ ἤν τι ἄλλο φαίνηται ἐπιτήδειον. τὰ δὲ καὶ ἐπιμεμελήμεθα ἤδη, καὶ ὅ, τι ἂν αἰσθώμεθα, ἐς ὑμᾶς οἴσομεν. Καὶ οἱ μὲν Συρακούσιοι, τοσαῦτα εἰπόντος τοῦ στρατηγοῦ, διελύθησαν ἐκ τοῦ ξυλλόγου.

μβ'. Οἱ δ' Ἀθηναῖοι, ἤδη ἐν τῇ Κερκύρᾳ αὐτοί τε καὶ οἱ ξύμμαχοι ἅπαντες ἦσαν· καὶ πρῶτον μὲν ἐπεξέτασιν τοῦ στρατεύματος, καὶ ξύνταξιν, ὥσπερ ἔμελλον ὁρμιεῖσθαί τε καὶ στρατοπεδεύεσθαι, οἱ στρατηγοὶ ἐποιήσαντο· καὶ τρία μέρη νείμαντες, ἐν ἑκάστῳ ἐκλήρωσαν, ἵνα μήτε ἀναπλέοντες ἀπορῶσιν ὕδατος, καὶ λι-

nulla iactura fiet, si respublica instruatur & equis, & armis, & ceteris rebus, quibus bellum gaudet. Nos vero istarum curam geremus, easque recensebimus; simul etiam curabimus, ut ad civitates quoquoversum mittantur, qui & explorent, & agant, si quid aliud commodum esse videatur. Sunt etiam, quae iam curavimus, & quidquid senserimus, id ad vos referemus. Atque Syracusani quidem, cum dux iste haec verba feciſſet, ex concilio discesserunt.

XLII. Athenienses vero, cum ipsi, tum eorum socii, omnes apud Corcyram iam erant. Atque primum quidem duces copias iterum recensuerunt, & instruxerunt, eo ordine, quo portum capturi, castraque posituri erant. & classe in tres partes distributa, in singulis sortitionem fecerunt, ne in altum navigantes, aquae, & portuum, & rerum ad victum necessariarum, in diversoriis, ad quae

μένων, καὶ τῶν ἐπιτηδείων ἐν ταῖς καταγωγαῖς, πρός τε τἆλλα εὐκοσμότεροι καὶ ῥᾴους ἄρχειν ὦσι, κατὰ τέλη στρατηγῷ προστεταγμένοι. ἔπειτα δὲ προὔπεμψαν καὶ ἐς τὴν Ἰταλίαν καὶ Σικελίαν τρεῖς ναῦς, εἰσομένας αἵτινες σφᾶς τῶν πόλεων δέξονται. καὶ εἴρητο αὐταῖς προαπαντᾶν, ὅπως ἐπιστάμενοι καταπλέωσι.

μγ'. Μετὰ δὲ ταῦτα, τοσῇδε ἤδη τῇ παρασκευῇ Ἀθηναῖοι ἄραντες ἐκ τῆς Κερκύρας, ἐς τὴν Σικελίαν ἐπεραιοῦντο, τριήρεσι μὲν ταῖς πάσαις, τέσσαρσι καὶ τριάκοντα καὶ ἑκατόν, καὶ δυοῖν Ῥοδίοιν πεντηκοντόροιν. τούτων Ἀττικαὶ μὲν ἦσαν ἑκατόν, ὧν αἱ μὲν ἑξήκοντα, ταχεῖαι, αἱ δ' ἄλλαι, στρατιώτιδες· τὸ δὲ ἄλλο ναυτικόν, Χίων, καὶ τῶν ἄλλων ξυμμάχων· ὁπλίτας δὲ τοῖς ξύμπασιν, ἑκατὸν καὶ πενταχισχιλίους. (καὶ τούτων,

appellerent, inopia laborarent; utque ceteris etiam in rebus milites aptius inſtructi eſſent, & a ducibus facilius regi poſſent, in ſingulis illis tribus agminibus attributi ſuo quique duci. Deinde vero praemiſerunt & in Italiam & in Siciliam tres naves, ut explorarent, quaenam civitates ſe eſſent recepturae. ipſiſque praeceptum fuerat, ut claſſi occurrerent, ut duces ab ipſis certiores facti ad illas appellerent.

XLIII. Poſt haec Athenienſes, iam cum tanto apparatu e Corcyra ſolventes, in Siciliam traiicere coeperunt, cum triremibus numero centum, & triginta quatuor, & duabus Rhodiis navibus, quae quinquaginta remis agebantur. Harum autem triremium erant Atticae centum, quarum ſexaginta quidem erant veloces, ceterae vero milites vehebant, reliqua vero claſſis erat Chiorum, & ceterorum ſociorum. Univerſi autem gravis armaturae milites erant quinque millia, & centum praeterea. (Atque inter hos,

Ἀθηναίων μὲν αὐτῶν ἦσαν πεντακόσιοι μὲν καὶ χίλιοι ἐκ καταλόγου, ἑπτακόσιοι δὲ, θῆτες, ἐπιβάται τῶν νεῶν. ξύμμαχοι δὲ οἱ ἄλλοι ξυνεστράτευον, οἱ μὲν, τῶν ὑπηκόων, οἱ δ' Ἀργείων, πεντακόσιοι, καὶ Μαντινέων καὶ μισθοφόρων πεντήκοντα καὶ διακόσιοι.) τοξόταις δὲ τοῖς πᾶσιν, ὀγδοήκοντα καὶ τετρακοσίοις· (καὶ τούτων Κρῆτες οἱ ὀγδοήκοντα ἦσαν) καὶ σφενδονήταις Ῥοδίων ἑπτακοσίοις, καὶ Μεγαρεῦσι ψιλοῖς φυγάσιν εἴκοσι καὶ ἑκατόν· καὶ ἱππαγωγῷ μιᾷ τριάκοντα ἀγούσῃ ἱππέας.

μδ'. Τοσαύτη ἡ πρώτη παρασκευὴ πρὸς τὸν πόλεμον διέπλει. τούτοις δὲ τὰ ἐπιτήδεια ἄγουσαι ὁλκάδες μὲν τριάκοντα σιταγωγοὶ, καὶ τοὺς σιτοποιοὺς ἔχουσαι, καὶ λιθολόγους, καὶ τέκτονας, καὶ ὅσα ἐς τειχισμὸν ἐργαλεῖα. πλοῖα δὲ ἑκατὸν, ἃ ἐξ ἀνάγκης μετὰ τῶν ὁλ-

ex ipsis quidem Athenienſibus erant mille & quingenti legionarii milites, & ſeptingenti famuli, navium defenſores. Ceteri vero ſocii, qui cum ipsis ad hanc militiam proficiſcebantur, partim quidem erant ex populis ipſorum imperio ſubiectis, partim vero ex Argivis, quingenti; & ex Mantineis atque mercenariis, ducenti & quinquaginta.) Univerſi vero ſagittarii, quadringenti & octoginta, (quorum Cretenſes erant octoginta) & Rhodiorum funditores ſeptingenti, & Megarenſium exſulum leviter armatorum centum viginti. Erat & una hippagoga, quae triginta equites vehebat.

XLIV. Primus apparatus, qui ad bellum in Siciliam traiecit, tantus fuit. Hos autem ſequebantur triginta onerariae naves, quae commeatum & res exercitui neceſſarias vehebant, & quae piſtores, & lapidum ſtructores, & fabros, omniaque inſtrumenta, quae ad munitiones exſtruen-

χάδων ξυνέπλει. πολλὰ δὲ καὶ ἄλλα πλοῖα καὶ ὁλκάδες ἐκούσιοι ξυνηκολούθουν τῇ στρατιᾷ ἐμπορίας ἕνεκα· ἃ τότε πάντα ἐκ τῆς Κερκύρας ξυνδιέβαλε τὸν Ἰόνιον κόλπον. καὶ προσβαλοῦσα ἡ πᾶσα παρασκευὴ πρός τε ἄκραν Ἰαπυγίαν, καὶ πρὸς Τάραντα, καὶ ὡς ἕκαστοι εὐπόρησαν, παρεκομίζοντο τὴν Ἰταλίαν, τῶν μὲν πόλεων οὐ δεχομένων αὐτοὺς ἀγορᾷ οὐδὲ ἄστει, ὕδατι δὲ καὶ ὁρμῷ· Τάραντος δὲ καὶ Λοκρῶν, οὐδὲ τούτοις· ἕως ἀφίκοντο ἐς Ῥήγιον, τῆς Ἰταλίας ἀκρωτήριον, καὶ ἐνταῦθα ἤδη ἠθροίζοντο. καὶ ἔξω τῆς πόλεως (ὡς αὐτοὺς εἴσω οὐκ ἐδέχοντο) στρατόπεδόν τε κατεσκευάσαντο ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ, οὗ αὐτοῖς καὶ ἀγορὰν παρεῖχον. καὶ τὰς ναῦς ἀνελκύσαντες ἡσύχασαν· καὶ πρός τε τοὺς Ῥηγίνους λόγους ἐποιήσαντο, ἀξιοῦντες Χαλκιδέας ὄντας

das erant neceſſaria, portabant. Item centum navigia, quae naves onerarias vi neceſſitatis coacta comitabantur. Multa etiam alia navigia, & naves onerariae ſimul navigantes exercitum ultro negotiationis cauſa ſequebantur. Quae omnes e Corcyra tunc ſinum Ionium ſimul tranſmiſerunt. Totuſque apparatus, partim ad promontorium Iapygiam, partim Tarentum appulſus, partim etiam alio, prout cuique facultas data eſt, oram Italiae legentes praetervehebantur; & civitates nec ad mercatum ipſos admittebant, nec in urbem recipiebant, ſed aquae & ſtationis uſu eos adiuvabant: Tarentum vero Locrique ne his quidem: donec ad Rhegium, Italiae promontorium, pervenerunt, atque hic iam congregabantur: & extra urbem (quia Rhegini ipſos intra muros non recipiebant) caſtra fecerunt ad Dianae templum, ubi etiam Rhegini mercatum ipſis praebebant. Subductiſque navibus, quieverunt. Et apud Rhegi-

Χαλκιδεῦσιν οὖσι Λεοντίνοις βοηθεῖν. οἱ δὲ οὐδὲ μετ' ἐτέρων ἔφασαν ἔσεσθαι, ἀλλ' ὅ, τι ἂν καὶ τοῖς ἄλλοις Ἰταλιώταις ξυνδοκῇ, τοῦτο ποιήσειν. οἱ δὲ πρὸς τὰ ἐν τῇ Σικελίᾳ πράγματα ἐσκόπουν ὅτῳ τρόπῳ ἄριστα πρασσοίσονται· καὶ τὰς πρόπλους ναῦς ἐκ τῆς Ἐγέστης ἅμα προσέμενον, βουλόμενοι εἰδέναι περὶ τῶν χρημάτων, εἴ ἐστιν ἃ ἔλεγον ἐν ταῖς Ἀθήναις οἱ ἄγγελοι.

μέ. Τοῖς δὲ Συρακουσίοις ἐν τούτῳ πολλαχόθεν τε ἤδη καὶ ἀπὸ τῶν κατασκόπων σαφῶς ἠγγέλλετο, ὅτι ἐν Ῥηγίῳ αἱ νῆες εἰσὶ, καὶ ὡς ἐπὶ τούτοις παρεσκευάζοντο πάσῃ τῇ γνώμῃ. καὶ οὐκέτι ἠπίστουν· καὶ ἐς τε τοὺς Σικελοὺς περιέπεμπον, ἔνθα μὲν, φυλακας, πρὸς δὲ τοὺς, πρέσβεις· καὶ ἐς τὰ περίπλοια τὰ ἐν τῇ χώρᾳ φρουρὰς ἐσεκόμιζον· τά τε ἐν τῇ πόλει, ὅπλων ἐξετάσει καὶ ἵπ-

nos verba fecerunt, poſtulantes, ut ipſi, qui Chalcidenſes eſſent, Leontinis, qui & ipſi Chalcidenſes eſſent, auxilium ferrent. Rhegini vero dixerunt, ſe neutris affuturos: ſed quidquid ceteris Italis communiter placeret, id eſſe faturos. Iſti vero animum ad res Siculas converterunt, conſiderantes, quanam ratione in illis optime ſe gererent. Simul etiam praecurſorias naves ab Egeſta praeſtolabantur, quia ſcire cupiebant, an illic ea eſſet pecunia, quam legati Athenis praedicaſſent.

XLV. Interea vero Syracuſanis cum ex multis aliis locis, tum etiam ab exploratoribus iam certo nuntiabatur, naves hoſtium ad Rhegium eſſe: & propterea omni ſtudio ſe praeparabant, nec amplius dubitabant. & ad Siculos mittebant quoquo verſus, ad hos quidem, praeſidia; ad illos vero, legationes. Et in caſtella, quae in regione circumcirca erant, praeſidia immittebant. Et quae intra ur-

πων, ἐσκόπουν εἰ ἐντελῆ ἐστι· καὶ τἄλλα, ὡς ἐπὶ ταχεῖ πολέμῳ καὶ ὁσονοὺ παρόντι, καθίσταντο.

μστ'. Αἱ δ' ἐκ τῆς Ἐγέστης τρεῖς νῆες αἱ πρόπλοι παραγίγνονται τοῖς Ἀθηναίοις ἐς τὸ Ῥήγιον, ἀγγέλλουσαι ὅτι τἄλλα μὲν οὐκ ἔστι χρήματα ἃ ὑπέσχοντο, τριάκοντα δὲ τάλαντα μόνα Φαίνεται. καὶ οἱ στρατηγοὶ εὐθὺς ἐν ἀθυμίᾳ ἦσαν, ὅτι αὐτοῖς τοῦτό τε πρῶτον ἀντεκεκρούκει, καὶ οἱ Ῥηγῖνοι, οὐκ ἐθελήσαντες ξυστρατεύειν, οὓς πρῶτον ἤρξαντο πείθειν, καὶ εἰκὸς ἦν μάλιστα, Λεοντίνων τε ξυγγενεῖς ὄντας, καὶ σφίσιν ἀεὶ ἐπιτηδείους. καὶ τῷ μὲν Νικίᾳ προσδεχομένῳ ἦν τὰ περὶ τῶν Ἐγεσταίων, τοῖν δὲ ἑτέροιν καὶ ἀλογώτερα. οἱ δὲ Ἐγεσταῖοι τοιόνδε τὶ ἐξετεχνήσαντο τότε ὅτε οἱ πρῶτοι πρέσβεις τῶν Ἀθηναίων ἦλθον αὐτοῖς ἐς τὴν κατασκοπὴν

bem erant, an abſoluta eſſent, explorabant, recenſentes arma & equos; & cetera conſtituebant, ut imminenti, & tantum non iam praeſenti bello.

XLVI. Illae vero tres praecurſoriae naves ab Egeſta Rhegium ad Athenienſes advenerunt, & renuntiarunt, ceteram quidem pecuniam, quam Egeſtaei promiſerant, non exſtare; ſed tantum triginta talenta apparere. Confeſtim autem duces animos deſpondere coeperunt, quod hoc ipſis initio praeter exſpectationem incommode cecidiſſet; quodque Rhegini ipſis reſtitiſſent, una ſecum militare recuſantes, quibus primis ſuadere coeperant, & maxime credibile videbatur, quod eſſent Leontinorum cognati, & ipſorum ſemper ſtudioſi fuiſſent. Atque Niciae quidem haec, prout exſpectaverat, ab Egeſtaeis contigerunt; duobus vero reliquis vel maxime praeter opinionem. Egeſtaei enim huiuſmodi fraudem excogitarunt tunc, cum primi Athenienſium

τῶν χρημάτων. ἔς τε τὸ ἐν Ἔρυκι ἱερὸν τῆς Ἀφροδίτης ἀγαγόντες αὐτοὺς, ἐπέδειξαν τὰ ἀναθήματα, φιάλας τε, καὶ οἰνοχόας, καὶ θυμιατήρια, καὶ ἄλλην κατασκευὴν οὐκ ὀλίγην· ἃ ὄντα ἀργυρᾶ, πολλῷ πλείω τὴν ὄψιν ἀπ' ὀλίγης δυνάμεως χρημάτων παρείχετο. καὶ ἰδίᾳ ξενίσεις ποιούμενοι τῶν τριηρητῶν, τά τε ἐξ αὐτῆς Ἐγέστης ἐκπώματα καὶ χρυσᾶ καὶ ἀργυρᾶ ξυλλέξαντες, καὶ τὰ ἐκ τῶν ἐγγὺς πόλεων καὶ Φοινικικῶν καὶ Ἑλληνίδων αἰτησάμενοι, ἐστίθεσαν ἐς τὰς ἑστιάσεις ὡς οἰκεῖα ἕκαστοι. καὶ πάντων ὡς ἐπιτοπολὺ τοῖς αὐτοῖς χρωμένων, καὶ πανταχοῦ πολλῶν θαυμαζομένων, μεγάλην τὴν ἔκπληξιν τοῖς ἐκ τῶν τριηρῶν Ἀθηναίοις παρεῖχε. καὶ ἀφικόμενοι ἐς τὰς Ἀθήνας, διεβρόησαν ὡς χρήματα πολλὰ ἴδοιεν. καὶ οἱ μὲν, αὐτοί τε ἀπατηθέντες, καὶ

legati eos adierunt ad explorandas ipſorum pecunias. Illis enim adductis in Veneris ſanum, quod eſt in Eryce, oſtenderunt donaria, phialas, trullas, turibula, ceteramque non paucam ſupellectilem. quae, cum eſſent argentea, longe maiorem ſolidae opulentiae ſpeciem praebebant, quam re ipſa valebant, quod eſſent parvi pretii. Quin etiam privatim exceptis hoſpitio illis, qui triremibus ad eos advecti fuerant, cum ex ipſa Egeſta omnia tum aurea tum argentea pocula collecta, tum etiam ex vicinis tam Phoenicum quam Graecorum urbibus corrogata, in conviviis ut ſuam quique domeſticam ſupellectilem exhibuerant. Cum autem omnes convivatores iiſdem poculis plerumque uterentur, & multa ubique conſpicerentur, ingentem ſtuporem afferebant Athenienſibus, qui triremibus ad eos advecti fuerant. Quare Athenas reverſi divulgarant, ſe magnam pecuniae vim conſpexiſſe. Atque illi

τοὺς ἄλλους τότε πείσαντες, ἐπειδὴ διῆλθεν ὁ λόγος ὅτι οὐκ εἴη ἐν τῇ Ἐγέστῃ τὰ χρήματα, πολλὴν τὴν αἰτίαν εἶχον ὑπὸ τῶν στρατιωτῶν. οἱ δὲ στρατηγοὶ πρὸς τὰ παρόντα ἐβουλεύοντο.

μζ'. Καὶ Νικίου μὲν ἦν γνώμη πλεῖν ἐπὶ Σελινοῦντα πάσῃ τῇ στρατιᾷ, ἐφ' ὅπερ μάλιστα ἐπέμφθησαν· καὶ ἢν μὲν παρέχωσι χρήματα παντὶ τῷ στρατεύματι Ἐγεσταῖοι, πρὸς ταῦτα βουλεύεσθαι· εἰ δὲ μή, ταῖς ἑξήκοντα ναυσὶν, ὅσασπερ ἠτήσαντο, ἀξιοῦν διδόναι αὐτοὺς τροφὴν, καὶ παραμείναντας Σελινουντίους ἢ βίᾳ ἢ ξυμβάσει διαλλάξαι αὐτοῖς, καὶ οὕτω παραπλεύσαντας τὰς ἄλλας πόλεις, καὶ ἐπιδείξαντας μὲν τὴν δύναμιν τῆς Ἀθηναίων πόλεως, δηλώσαντας δὲ τὴν ἐς τοὺς Σίλους καὶ ξυμμάχους προθυμίαν, ἀποπλεῖν οἴκαδε, ἢν

quidem, qui cum ipſi decepti fuerant, tum etiam aliis tunc hoc perſuaſerant, poſtquam hic rumor dimanavit, pecunias illas Egeſtae non eſſe, graviter a militibus accuſabantur. Duces autem pro praeſenti rerum ſtatu conſultare coeperunt.

XLVII. Et Niciae quidem ſententia haec erat, ut cum omnibus copiis adverſus Selinuntem navigaretur, cuius rei cauſa potiſſimum miſſi fuiſſent. Et, ſi quidem Egeſtaei pecunias univerſo exercitui ſuppeditarent, pro pecuniae ſumma conſilium caperetur. ſin minus, ab ipſis poſtularetur, ut ſexaginta navibus, quas ipſi petiiſſent, cibaria ſuppeditarent; atque ſic Athenienſes ibi permanerent, donec Selinuntios ipſis Egeſtaeis vel vi vel pactione reconciliaſſent; & ita ceteras civitates obirent, & ubi Athenienſis reipublicae potentiam ipſis oſtendiſſent, & ſuum in amicos ſocioſque ſtudium demonſtraſſent, domum redirent, (niſi forte brevi temporis ſpatio, & ex inopinato aliqua facul-

μή τι δι' ὀλίγου καὶ ἀπὸ τοῦ ἀδοκήτου ἢ Λεοντίνους οἵοί τε ὦσιν ὠφελῆσαι, ἢ τῶν ἄλλων τινὰ πόλεων προσαγαγέσθαι, καὶ τῇ πόλει δαπανῶντας τὰ οἰκεῖα μὴ κινδυνεύειν.

μή. Ἀλκιβιάδης δὲ οὐκ ἔφη χρῆναι, τοσαύτῃ δυνάμει ἐκπλεύσαντας, αἰσχρῶς καὶ ἀπράκτως ἀπελθεῖν, ἀλλ' ἔς τε τὰς πόλεις ἐπικηρυκεύεσθαι, πλὴν Σελινοῦντος καὶ Συρακουσῶν, τὰς ἄλλας, καὶ πειρᾶσθαι καὶ τοὺς Σικελοὺς, τοὺς μὲν, ἀφιστάναι ἀπὸ τῶν Συρακουσίων, τοὺς δὲ, Σίλους ποιεῖσθαι, ἵνα σῖτον καὶ στρατιὰν ἔχωσι. πρῶτον δὲ πείθειν Μεσσηνίους (ἐν πόρῳ γὰρ μάλιστα καὶ προσβολῇ εἶναι αὐτοὺς τῆς Σικελίας) καὶ λιμένα καὶ ἐφόρμησιν τῇ στρατιᾷ ἱκανωτάτην ἔσεσθαι. προσαγαγομένους δὲ τὰς πόλεις, εἰδότας μεθ'

tas offerretur, qua oblata, vel Leontinos iuvare, vel aliquam aliarum civitatum ſibi adiungere poſſent) neque ſuas quique facultates reipublicae cauſa conſumentes, rempublicam in periculum adducerent.

XLVIII. Alcibiades vero dicebat, non oportere ſe cum tantis copiis Athenis emiſſos, turpiter, ac infecto negotio abire: ſed ad omnes civitates, praeter Selinuntem & Syracuſas, legatos mittere, & operam dare, ut & Siculos, partim quidem ad defectionem a Syracuſanis faciendam ſollicitarent, partim vero amicos ſibi facerent, ut & commeatum & copias haberent. Ac primum quidem Meſſanenſes adducendos cenſebat. (ipſos enim potiſſimum in traiectu, & opportuno loco, quo ad Siciliam appelli poſſet, ſitos eſſe, dicebat.) & portum atque ſtationem, quae copias, claſſemque commodiſſime caperet, illic fore demonſtrabat. Civitatibus autem in amicitiam ad-

ὧν τὶς πολεμήσει, οὕτως ἤδη Συρακούσαις καὶ Σελινοῦντι ἐπιχειρεῖν· ἢν μὴ οἱ μὲν Ἐγεσταίοις ξυμβαίνωσιν, οἱ δὲ Λεοντίνους ἐῶσι κατοικίζειν.

μβ'. Λάμαχος δὲ ἄντικρυς ἔφη χρῆναι πλεῖν ἐπὶ Συρακούσας, καὶ πρὸς τῇ πόλει ὡς τάχιστα τὴν μάχην ποιεῖσθαι, ἕως ἔτι ἀπαράσκευοί τε εἰσὶ, καὶ μάλιστα ἐκπεπληγμένοι. τὸ γὰρ πρῶτον πᾶν στράτευμα δεινότατον εἶναι· ἢν δὲ χρονίσῃ πρὶν ἐς ὄψιν ἐλθεῖν, τῇ γνώμῃ ἀναθαρσοῦντας ἀνθρώπους, καὶ τῇ ὄψει καταφρονεῖν μᾶλλον. αἰφνίδιοι δὲ ἢν προσπέσωσιν, ἕως ἔτι περιδεεῖς προσδέχονται, μάλιστ' ἂν σφᾶς περιγενέσθαι, καὶ κατὰ πάντα ἂν αὐτοὺς ἐκφοβῆσαι, τῇ τε ὄψει (πλεῖστοι γὰρ ἂν νῦν φανῆναι) καὶ τῇ προσδοκίᾳ ὧν πείσον-

ductis, ubi noſſent, quos belli ſocios eſſent habituri, ita demum Syracuſas & Selinuntem aggrediendas cenſebat: niſi hi quidem compoſitionem cum Egeſtaeis facerent, illi vero Leontinos in ſuas priſtinas ſedes redire ſinerent.

XLIX. Lamachus vero palam dicebat, adverſus Syracuſas navigandum eſſe, & primo quoque tempore proelium ad urbem committendum, dum adhuc imparati eſſent, & maxime perterriti. Omnem enim exercitum principio maximum terrorem afferre: ſed ſi moram interponat, antequam in ipſorum conſpectum veniat, homines ex pavore ſe colligentes, & ipſum cernentes, magis contemnere. ſed ſi repente Syracuſanos invaſerint, dum adhuc metu perculſi hoſtem exſpectarent, affirmabat, ſe ſuperiores illis facillime futuros, omnibuſque rebus terrorem illis incuſſuros, tum aſpectu, (plurimos enim tunc viſum iri) tum exſpectatione cladium, quas eſſent acceptu-

ται, μάλιστα δ' ἂν τῷ αὐτίκα κινδύνῳ τῆς μάχης. εἰκὸς δὲ εἶναι καὶ ἐν τοῖς ἀγροῖς πολλοὺς ἀποληφθῆναι ἔξω, διὰ τὸ ἀπιστεῖν σφᾶς μὴ ἔξειν· καὶ ἐσκομιζομένων αὐτῶν, τὴν στρατιὰν οὐκ ἀπορήσειν χρημάτων, ἣν πρὸς τῇ πόλει κρατοῦσα κάθέζηται. τούς τε ἄλλους Σικελιώτας οὕτως ἤδη μᾶλλον καὶ ἐκείνοις οὐ ξυμμαχήσειν, καὶ σφίσι προσιέναι, καὶ οὐ διαμελλήσειν περισκοποῦντας ὁπότεροι κρατήσουσι. ναύσταθμον δὲ, ἐπαναχωρήσαντας, καὶ ἐφορμηθέντας, Μέγαρα ἔφη χρῆναι ποιεῖσθαι, ἃ ἦν ἔρημα, ἀπέχοντα Συρακουσῶν οὔτε πλοῦν πολὺν, οὔτε ὁδόν.

ν'. Λάμαχος μὲν ταῦτα εἰπὼν, ὅμως προσέθετο καὶ αὐτὸς τῇ Ἀλκιβιάδου γνώμῃ. μετὰ δὲ τοῦτο, Ἀλκιβιάδης τῇ αὐτοῦ νηὶ διαπλεύσας ἐς Μεσσήνην, καὶ λόγους ποιησάμενος περὶ ξυμμαχίας πρὸς αὐτοὺς, ὡς οὐκ

ri, praecipue vero ſubito proelii committendi periculo. Veriſimile autem eſſe, in agris etiam multos extra urbem intercipi poſſe, quod minime crederent ſe venturos. Quod ſi iſti ex agris in urbem ſe reciperent, exercitum, ſi victor urbem obſideret, ſatis pecuniarum habiturum. Praeterea reliquos Sicilienſes ſic iam & illorum ſocietatem facilius deſerturos, & ad ſe tranſituros, minimeque cunctaturos, circumſpicientes, utri victores eſſent futuri. Sibi autem ab urbis obſidione reverſis, & ad portum appulſis, navium ſtationes obtinendas dicebat ad Megara, quae deſerta eſſent, & a Syracuſis mari terraque parum diſtarent.

L. Lamachus autem, quamvis haec dixiſſet, tamen & ipſe in Alcibiadis ſententiam ivit. Poſtea vero Alcibiades, cum ſua navi Meſſanam traieciſſet, & de ſocietate ſecum ineunda apud Meſſanenſes verba feciſſet, neque rem ipſis

ἔπειθεν, ἀλλ' ἀπεκρίναντο, πόλει μὲν ἂν οὐ δέξεσθαι, ἀγορὰν δ' ἔξω παρέξειν, ἀπέπλει ἐς τὸ Ῥήγιον. καὶ εὐθὺς ξυμπληρώσαντες ἑξήκοντα ναῦς ἐκ πασῶν οἱ στρατηγοὶ, καὶ τὰ ἐπιτήδεια λαβόντες, παρέπλεον ἐς Νάξον, τὴν ἄλλην στρατιὰν ἐν Ῥηγίῳ καταλιπόντες, καὶ ἕνα σφῶν αὐτῶν. Ναξίων δὲ δεξαμένων τῇ πόλει, παρέπλεον ἐς Κατάνην. καὶ ὡς αὐτοὺς οἱ Καταναῖοι οὐκ ἐδέχοντο (ἐνῆσαν γὰρ αὐτόθι ἄνδρες τὰ Συρακουσίων βουλόμενοι) ἐκπίσθησαν ἐπὶ τὸν Τηρίαν ποταμόν. καὶ αὐλισάμενοι, τῇ ὑστεραίᾳ ἐπὶ Συρακούσας ἔπλεον, ἐπὶ κέρως ἔχοντες τὰς ἄλλας ναῦς. δέκα δὲ τῶν νεῶν προὔπεμψαν ἐς τὸν μέγαν λιμένα, πλεῦσαί τε καὶ κατασκέψασθαι εἴτι ναυτικὸν ἔστι καθειλκυσμένον, καὶ κηρύξαι ἀπὸ τῶν νεῶν προσπλεύσαντας ὅτι οἱ Ἀθηναῖοι

persuadere potuisset, sed illi respondissent, in urbem quidem se nequaquam recepturos, forum tamen rerum venalium ipsis praebituros, ad Rhegium rediit. Duces autem, cum ex omni navium numero sexaginta naves confestim impleviſſent, & necessarias res assumsissent, reliquo exercitu cum uno de suis collegis ad Rhegium relicto, classe praetervecti ad Naxum iverunt. Cum autem Naxii eos in urbem recepissent, illinc oram legentes ad Catanam navigarunt. sed cum Catanaei ipsos in urbem non recepissent, (illic enim aderant quidam, qui Syracusanorum partibus favebant) in flumen Teriam delati sunt. Cum autem illic pernoctassent, postero die Syracusas versus navigarunt, agmine longo ceteris navibus instructis. Decem vero naves praemiserunt in magnum Syracusarum portum, ut & illuc navigarent, & explorarent, si quid navium a Syracusanis deductum esset; utque ad urbem accedentes ex na-

ἤκουσι, Λεοντίνους ἐς τὴν ἑαυτῶν κατοικιοῦντες, κατὰ ξυμμαχίαν καὶ ξυγγένειαν· τοὺς οὖν ὄντας ἐν Συρακούσαις Λεοντίνων, ὡς παρὰ φίλους καὶ εὐεργέτας Ἀθηναίων ἀδεῶς ἀπιέναι. ἐπεὶ δ' ἐκηρύχθη, καὶ κατεσκέψαντο τήν τε πόλιν καὶ τοὺς λιμένας, καὶ τὰ περὶ τὴν χώραν, ἐξ ἧς αὐτοῖς ὁρμωμένοις πολεμητέα ἦν, ἀπέπλευσαν πάλιν ἐς Κατάνην.

να'. Καὶ ἐκκλησίας γενομένης, τὴν μὲν στρατιὰν οὐκ ἐδέχοντο οἱ Καταναῖοι, τοὺς δὲ στρατηγοὺς ἐσελθόντας ἐκέλευον ὅ, τι βούλονται εἰπεῖν. καὶ λέγοντος τοῦ Ἀλκιβιάδου, καὶ τῶν ἐν τῇ πόλει πρὸς τὴν ἐκκλησίαν τετραμμένων, οἱ στρατιῶται πυλίδα τινὰ ἐνῳκοδομημένην κακῶς ἔλαβον διελόντες· καὶ ἐσελθόντες ἠγόραζον ἐς τὴν

vibus per praeconis vocem ipsis significarent, Athenienses venire, ut Leontinos in suas pristinas sedes restituerent, propter societatis atque cognationis ius. Leontinis igitur, quotquot Syracusis essent, dicerent, ut intrepide transirent ad Athenienses, ut ad amicos, & de ipsis bene meritos. Postquam autem per praeconis vocem hoc ipsis denuntiatum est, postquam etiam urbis portuumque situm, omnemque circumcirca regionem, unde ipsis ad bellum hostibus faciendum prodeundum esset, contemplati sunt, rursus Catanam redierunt.

LI. Catanaei vero, convocata concione, copias quidem in urbem non receperunt; sed duces ingressos dicere iusserunt, si quid vellent. Cum autem Alcibiades apud ipsos orationem haberet, & oppidani in illam concionem essent conversi, milites Athenienses quandam portulam male obstructam nacti, clam diruta aedificii materia aperuerunt: & in urbem ingressi, mercabantur. Catanaei vero, qui

πόλιν. τῶν δὲ Καταναίων, οἱ μὲν τὰ τῶν Συρακουσίων φρονοῦντες, ὡς εἶδον τὸ στράτευμα ἔνδον, εὐθὺς περιδεεῖς γενόμενοι ὑπεξῆλθον, οὐ πολλοί τινες· οἱ δὲ ἄλλοι ἐψηφίσαντό τε ξυμμαχίαν τοῖς Ἀθηναίοις, καὶ τὸ ἄλλο στράτευμα ἐκέλευον ἐκ Ῥηγίου κομίζειν. μετὰ δὲ τοῦτο πλεύσαντες οἱ Ἀθηναῖοι ἐς τὸ Ῥήγιον, πάσῃ ἤδη τῇ στρατιᾷ ἄραντες ἐς τὴν Κατάνην, ἐπειδὴ ἀφίκοντο, κατεσκευάζοντο τὸ στρατόπεδον.

ΝΒ'. Ἐσηγγέλλετο δὲ αὐτοῖς ἔκ τε Καμαρίνης, ὡς, εἰ ἔλθοιεν, προσχωροῖεν ἂν, καὶ ὅτι Συρακούσιοι πληροῦσι ναυτικόν. ἀπάσῃ οὖν τῇ στρατιᾷ παρέπλευσαν, πρῶτον μὲν ἐπὶ Συράκουσας· καὶ ὡς οὐδὲν εὗρον ναυτικὸν πληρούμενον, παρεκομίζοντο αὖθις ἐπὶ Καμαρίνης, καὶ σχόντες ἐς τὸν αἰγιαλὸν, ἐπεκηρυκεύοντο. οἱ δ' οὐκ ἐδέχοντο, λέγοντες σφίσι τὰ ὅρκια εἶναι, μιᾷ νηὶ κατα-

cum Syracuſanis ſentiebant, cum exercitum in urbe animadvertiſſent, confeſtim terrore perculſi, quorum numerus non magnus erat, clam profugerunt. Ceteri vero decreverunt ſocietatem cum Athenienſibus faciendam, & reliquum exercitum a Rhegio acciri iuſſerunt. Poſtea vero Athenienſes ad Rhegium reverſi, iam cum omnibus copiis inde ſolventes Catanam appulerunt, & poſtquam eo pervenerunt, ibi caſtra fecerunt.

LII. Ad ipſos autem nuntii Camarina afferebantur, ſi illuc proficiſcerentur, Camarinaeos deditionem facturos, & Syracuſanos claſſem inſtruere. Primum igitur cum omnibus copiis adverſus Syracuſas profecti ſunt. Et cum nullam claſſem ab illis inſtrui comperiſſent, rurſus Camarinam verſus, oram legentes ſe receperunt, & ad litus appulſi, caduceatorem miſerunt. Illi vero eos non receperunt, di-

πλεόντων Ἀθηναίων δέχεσθαι, ἢν μὴ αὐτοὶ πλείους μεταπέμπωσιν. ἄπρακτοι δὲ γενόμενοι, ἀπέπλεον· καὶ ἀποβάντες κατά τι τῆς Συρακουσίας, καὶ ἁρπαγὴν ποιησάμενοι, καὶ τῶν Συρακουσίων ἱππέων βοηθησάντων, καὶ τῶν ψιλῶν τινας ἐσκεδασμένους διαφθειράντων, ἀπεκομίσθησαν ἐς Κατάνην.

νγ'. Καὶ καταλαμβάνουσι τὴν Σαλαμινίαν ναῦν ἐκ τῶν Ἀθηνῶν ἥκουσαν ἐπί τε Ἀλκιβιάδην, ὡς κελεύσοντας ἀποπλεῖν ἐς ἀπολογίαν ὧν ἡ πόλις ἐνεκάλει, καὶ ἐπ' ἄλλους τινὰς τῶν στρατιωτῶν τῶν μετ' αὐτοῦ, μεμηνυμένων περὶ τῶν μυστηρίων ὡς ἀσεβούντων, τῶν δέ, καὶ περὶ τῶν Ἑρμῶν. οἱ γὰρ Ἀθηναῖοι, ἐπειδὴ ἡ στρατιὰ ἀπέπλευσεν, οὐδὲν ἧσσον ζήτησιν ἐποιοῦντο τῶν περὶ τὰ μυστήρια καὶ τῶν περὶ τοὺς Ἑρμᾶς δραθέντων· καὶ

centes, se iurisiurandi religione obstrictos esse, ut Athenienses cum una tantum navi appellentes reciperent, nisi ipsi plures ab illis arcessissent. Quamobrem Athenienses re infecta discesserunt. Cum autem exscensum e navibus in quandam agri Syracusani partem fecissent, & praedas egissent, & Syracusanorum equites accurrissent, & nonnullos levis armaturae milites Athenienses palatos interfecissent, Catanam se receperunt.

LIII. Illic autem offendunt Salaminiam navem Athenis missam, tum adversus Alcibiadem, ut qui in ea vehebantur iuberent redire ad respondendum criminibus, quorum publice insimulabatur, tum adversus quosdam alios milites, qui cum eo erant: de quibus indicium delatum fuerat, quod impie mysteria polluissent, partim vero, quod Mercurii simulacra violassent. Athenienses enim post classis discessum, nihilo minus quaestionem habebant de mysteriis

οὐ δοκιμάζοντες τοὺς μηνυτὰς, ἀλλὰ πάντας ὑπόπτως ἐποδεχόμενοι, διὰ πονηρῶν ἀνθρώπων πίστιν, πάνυ χρηστοὺς τῶν πολιτῶν ξυλλαμβάνοντες κατέδουν· χρησιμώτερον ἡγούμενοι εἶναι βασανίσαι τὸ πρᾶγμα καὶ εὑρεῖν, ἢ διὰ μηνυτοῦ πονηρίαν, τινὰ καὶ χρηστὸν δοκοῦντα εἶναι, αἰτιαθέντα, ἀνέλεγκτον διαφυγεῖν. ἐπιστάμενος γὰρ ὁ δῆμος ἀκοῇ τὴν Πεισιστράτου καὶ τῶν παίδων τυραννίδα χαλεπὴν τελευτῶσαν γενομένην, καὶ προσέτι οὐδ' ὑφ' ἑαυτῶν καὶ Ἁρμοδίου καταλυθεῖσαν, ἀλλ' ὑπὸ τῶν Λακεδαιμονίων, ἐφοβεῖτο ἀεὶ, καὶ πάντα ὑπόπτως ἐλάμβανε.

νδ'. Τὸ γὰρ Ἀριστογείτονος καὶ Ἁρμοδίου τόλμημα δι' ἐρωτικὴν ξυντυχίαν ἐπεχειρήθη. ἣν ἐγὼ ἐπιπλέον διηγησάμενος, ἀποφαίνω οὔτε τοὺς ἄλλους, οὔτε αὐτοὺς

pollutis, & de violatis Mercurii ſimulacris. Quoniam autem non explorabant indices, ſed omnes ſuſpicioſe admittebant, ob fidem improbis hominibus habitam, ex civibus optimos comprehenderunt, & in vincula coniecerunt; ſatius eſſe iudicantes hac de re quaeſtionem habere, & reperire, quam propter indicis improbitatem, aliquem, licet vir probus eſſe videretur, accuſatum, nulla quaeſtione habita, evadere. Populus enim, qui fama acceperat, Piſiſtrati ac filiorum tyrannidem extremis eius temporibus gravem fuiſſe, praeterea neque a ſe, neque ab Harmodio, ſed a Lacedaemoniis everſam, ſemper metuebat, & omnia ſuſpicioſe accipiebat.

LIV. Nam audax illud Ariſtogitonis & Harmodii facinus, propter rei cuiuſdam ad amores pertinentis caſum, ab illis ſuſceptum fuit. Quam rem ego fuſius narrans demonſtrabo, neque alios, neque ipſos Athenienſes de ſuis

Ἀθηναίους περὶ τῶν σφετέρων τυράννων, οὐδὲ περὶ τοῦ γενομένου ἀκριβὲς οὐδὲν λέγοντας. Πεισιστράτου γὰρ γηραιοῦ τελευτήσαντος ἐν τῇ τυραννίδι, οὐχ Ἵππαρχος (ὥσπερ οἱ πολλοὶ οἴονται) ἀλλ' Ἱππίας πρεσβύτατος ὢν ἔσχε τὴν ἀρχήν. γενομένου δὲ Ἁρμοδίου ὥρᾳ ἡλικίας λαμπροῦ, Ἀριστογείτων ἀνὴρ τῶν ἀστῶν, μέσος πολίτης, ἐραστὴς ὢν, εἶχεν αὐτόν. πειραθεὶς δὲ ὁ Ἁρμόδιος ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου, καὶ οὐ πεισθεὶς, καταγορεύει τῷ Ἀριστογείτονι. ὁ δὲ, ἐρωτικῶς περιαλγήσας, καὶ φοβηθεὶς τὴν Ἱππάρχου δύναμιν, μὴ βίᾳ προσαγάγηται αὐτὸν, ἐπιβουλεύει εὐθὺς, ὡς ἀπὸ τῆς ὑπαρχούσης ἀξιώσεως, κατάλυσιν τῇ τυραννίδι. καὶ ἐν τούτῳ ὁ Ἵππαρχος, ὡς αὖθις πειράσας οὐδὲν μᾶλλον ἔπεισε τὸν Ἁρμόδιον, βίαιον μὲν οὐδὲν ἐβούλετο δρᾶν, ἐν τόπῳ δέ τινι ἀφανεῖ, ὡς οὐ διὰ τοῦτο δὴ, παρεσκευάζετο

tyrannis, aut de re geſta quidquam certi dicere. Cum enim Piſiſtratus iam ſenex in tyrannide deceſſiſſet, non Hipparchus, (ut vulgus arbitratur) ſed Hippias, quod eſſet natu maximus, obtinuit principatum. Cum autem Harmodius aetatis flore inſignis eſſet, Ariſtogiton, quidam e civibus, mediae conditionis vir, eum adamabat, atque habebat. Hic autem Harmodius ab Hipparcho Piſiſtrati filio tentatus, neque ei morem gerens, rem ad Ariſtogitonem detulit. Hic vero more amatorum ingenti dolore concepto, & Hipparchi potentiam extimeſcens, ne per vim ipſum Harmodium ad ſe pertraheret, protinus pro ſua auctoritate, tyrannidem per inſidias evertere conatur. Interea vero Hipparchus, cum Harmodium rurſus ſollicitaſſet, & nihilo magis inducere potuiſſet, nihil quidem violenti intentare deſtinabat, ſed in loco quodam obſcuro, veluti non hac

προπηλακιῶν αὐτόν. οὐδὲ γὰρ τὴν ἄλλην ἀρχὴν ἐπαχθὴς ἦν ἐς τοὺς πολλούς, ἀλλ' ἀνεπιφθόνως κατεστήσατο. καὶ ἐπετήδευσαν ἐπιπλεῖστον δὴ τύραννοι οὗτοι ἀρετὴν καὶ ξύνεσιν, καὶ Ἀθηναίους εἰκοστὴν μόνον πρασσόμενοι τῶν γιγνομένων, τήν τε πόλιν αὐτῶν καλῶς διεκόσμησαν, καὶ τοὺς πολέμους διέφερον, καὶ ἐς τὰ ἱερὰ ἔθυον. τὰ δὲ ἄλλα αὐτὴ ἡ πόλις τοῖς πρὶν κειμένοις νόμοις ἐχρῆτο, πλὴν καθόσον ἀεί τινὰ ἐπεμέλοντο σφῶν αὐτῶν ἐν ταῖς ἀρχαῖς εἶναι. καὶ ἄλλοι τε αὐτῶν ἦρξαν τὴν ἐνιαύσιον Ἀθηναίοις ἀρχήν, καὶ Πεισίστρατος ὁ Ἱππίου τοῦ τυραννεύσαντος υἱός, τοῦ πάππου ἔχων τοὔνομα. ὃς τῶν δώδεκα θεῶν βωμὸν τὸν ἐν τῇ ἀγορᾷ Ἄρχων ἀνέθηκε, καὶ τὸν τοῦ Ἀπόλλωνος ἐν Πυθίου. καὶ τῷ μὲν ἐν τῇ ἀγορᾷ προσοικοδομήσας ὕστερον ὁ δῆμος Ἀθηναίων μεῖζον μῆκος τοῦ βωμοῦ, ἠφάνισε τοὐπίγραμμα· τοῦ δ' ἐν

de cauſa hoc faceret, ad eum contumelia afficiendum ſe parabat. Quippe neque cetero eius principatu multitudini gravis erat, ſed citra invidiam ſe geſſerat. Ac profecto hi tyranni virtutem & prudentiam diutiſſime coluerunt, & proventuum viceſimam tantum ab Athenienſibus exigentes, & ipſorum urbem egregie exornarunt, & bella adminiſtrarunt, & in templis ſacrificia fecerunt. In ceteris vero civitas legibus ante latis utebatur, praeterquam quod operam provide dabant, ut ſemper aliquis de ſuo ipſorum numero magiſtratum gereret. Et cum alii ex ipſis annuum imperium apud Athenienſes obtinuerunt, tum Piſiſtratus, Hippiae eius, qui tyrannus fuerat, filius, avi nomen ferens: qui cum eſſet Archon, aram duodecim Deorum in foro dedicavit, & illam, quae eſt Apollinis in Pythii templo. Poſtea vero populus Athenienſis, cum amplificaſſet

Πυθίου, ἔτι καὶ νῦν δῆλόν ἐστιν, ἀμυδροῖς γράμμασι, λέγον τάδε·

Μνῆμα τόδ' ἧς ἀρχῆς Πεισίστρατος Ἱππίου υἱὸς
Θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τεμένει.

νέ. Ὅτι δὲ πρεσβύτατος ὢν Ἱππίας ἦρξεν, εἰδὼς μὲν καὶ ἀκοῇ ἀκριβέστερον ἄλλων, ἰσχυρίζομαι, γνοίη δ' ἄν τις καὶ αὐτῷ τούτῳ· παῖδες γὰρ αὐτῷ μόνῳ φαίνονται τῶν γνησίων ἀδελφῶν γενόμενοι· ὡς ὅ, τε βωμὸς σημαίνει, καὶ ἡ στήλη περὶ τῆς τῶν τυράννων ἀδικίας, ἡ ἐν τῇ Ἀθηναίων ἀκροπόλει σταθεῖσα· ἐν ᾗ Θεσσαλοῦ μὲν οὐδ' Ἱππάρχου οὐδεὶς παῖς γέγραπται, Ἱππίου δὲ πέντε, οἱ αὐτῷ ἐκ Μυρρίνης τῆς Καλλίου τοῦ Ὑπερεχίδου θυγατρὸς ἐγένοντο. εἰκὸς γὰρ ἦν τὸν πρεσβύτατον πρῶτον γῆμαι· καὶ ἐν τῇ πρώτῃ στήλῃ πρῶτος γέ-

ram, quae erat in foro, inſcriptionem abolevit. At illius, quae in Apollinis Pythii templo erat, etiammum tota exſtat, literis evanidis paene, in haec verba:

In Pythii Phoebi Piſiſtratus aede locavit
Imperii Hippiades haec monumenta ſui.

LV. Hippiam igitur imperaſſe, quod inter fratres natu maximus eſſet, aſſeverare poſſum, partim ſcientia, partim fama, quod rei veritatem indagarim accuratius, quam alii: verum & ex hoc ipſo, quod ſum dicturus, ita rem habere quivis cognoſcat. Hunc enim ſolum inter legitimos fratres, liberos ſuſcepiſſe conſtat: ut & ara iſtud indicat, & columna in Athenarum arce erecta cum inſcriptione ſceleris a tyrannis perpetrati. In qua nullus Theſſali aut Hipparchi filius eſt ſcriptus; ſed quinque Hippiae filii, quos ille ex Myrrhine Calliae Hyperochidae filia ſuſceperat. Nam veriſimile videtur, maximum natu inter fratres uxorem

γραπται μετὰ τὸν πατέρα. οὐδὲ τοῦτο ἀπεικότως, διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ τυραννεῦσαι. οὐ μὴν οὐδ' ἂν κατασχεῖν μοι δοκεῖ ποτε Ἱππίας τοπαραχρῆμα ῥᾳδίως τὴν τυραννίδα, εἰ Ἵππαρχος μὲν ἐν τῇ ἀρχῇ ὢν ἀπέθανεν, αὐτὸς δὲ αὐθημερὸν καθίστατο. ἀλλὰ καὶ διὰ τὸ πρότερον ξυνηθες, τοῖς μὲν πολίταις φοβερὸν, ἐς δὲ τοὺς ἐπικούρους ἀκριβὲς, πολλῷ τῷ περιόντι τοῦ ἀσφαλοῦς κατεκράτησε. καὶ οὐχ ὡς ἀδελφὸς νεώτερος ὢν ἠπόρησεν, ἐν ᾧ οὐ πρότερον ξυνεχῶς ὡμιλήκει τῇ ἀρχῇ. Ἱππάρχῳ δὲ ξυνέβη, τοῦ πάθους τῇ δυστυχίᾳ ἐνομασθέντα, καὶ τὴν δόξαν τῆς τυραννίδος ἐς τὰ ἔπειτα προσλαβεῖν.

νστ'. Τὸν δ' οὖν Ἁρμόδιον ἀπαρνηθέντα τὴν πείρασιν,

primum duxiſſe. Deinde in columna prima prior ille eſt perſcriptus, poſt parentem: neque etiam abs re iſtud; quippe quod & ab eo natu maximus eſſet, & tyrannidem obtinuiſſet. Quin nec Hippias mihi videtur ita facile e veſtigio tyrannidem retenturus fuiſſe, ſi Hipparchus in imperio conſtitutus deceſſiſſet, & ipſe eodem die, quo tyrannus interfectus fuiſſet, imperium conſtituere coepiſſet. Sed propter priſtinum, ſolitumque civium metum, & diligentiam, qua in ſatellitum praeſidio utebatur, imperium nullo prorſus cum periculo retinuit: non cunctatus, neu quid ageret incertus, quod, ceu frater natu minor, imperium continenter antea non adminiſtraſſet. Hipparcho vero hoc evenit, uti propter calamitatem, in quam inciderat, nobilitatus, hanc etiam tyrannidis occupatae famam apud poſteros ſibi praeterea conciliarit.

LVI. Hunc igitur Harmodium, quod ipſi eum ſollicitanti morem gerere noluiſſet, ut in animo habebat, contu-

σπερ διενοεῖτο προϋπηλάκισεν. ἀδελφὴν γὰρ αὐτοῦ κό-
ην ἐπαγγείλαντες ἥκειν κανοῦν οἴσουσαν ἐν πομπῇ τινι,
πήλασαν, λέγοντες οὐδὲ ἐπαγγεῖλαι τὴν ἀρχὴν, διὰ
ο μὴ ἀξίαν εἶναι. χαλεπῶς δὲ ἐνεγκόντος τοῦ Ἁρμο-
ίου, πολλῷ δὴ μᾶλλον δι' ἐκεῖνον καὶ Ἀριστογείτων
αρωξύνετο· καὶ αὐτοῖς τὰ μὲν ἄλλα πρὸς τοὺς ξυνεπι-
ησομένους τῷ ἔργῳ ἐπέπρακτο, περιέμενον δὲ Παναθη-
ναια τὰ μεγάλα, ἐν ᾗ μόνην ἡμέρᾳ οὐχ ὕποπτον
γίγνετο, ἐν ὅπλοις τῶν πολιτῶν τοὺς τὴν πομπὴν πέμ-
ναντας, ἀθρόους γενέσθαι· καὶ ἔδει ἄρξαι μὲν αὐτοὺς,
υνεπαμύνειν δὲ εὐθὺς τὰ πρὸς τοὺς δορυφόρους ἐκείνους.
σαν δὲ οὐ πολλοὶ οἱ ξυνομωμοκότες, ἀσφαλείας οὕνεκα.
λπιζον γὰρ καὶ τοὺς μὴ προειδότας, εἰ καὶ ὀπωστιοῦν
ολμήσειαν, ἐκ τοῦ παραχρῆμα ἔχοντάς γε ὅπλα, ἐθε-
ήσειν σφᾶς αὐτοὺς ξυνελευθεροῦν.

relia affecit. Nam ſororem eius virginem, cum ad geſtan-
um in pompa quadam caniſtrum venire iuſſiſſent, abe-
erunt; dicentes, ſe ne principio quidem ei denuntiaſſe,
uod digna non eſſet. Cum autem Harmodius aegre fer-
et, propter ipſum & Ariſtogiton multo magis irritatus eſt.
Quamobrem ceteras quidem res conſtituerunt cum iis, qui
acinus ſimul aggreſſuri erant: ſed exſpectabant magna
Panathenaea, quo tantum die extra ſuſpicionem erat, cives
os, qui pompam proſequebantur, in armis frequentes eſſe.
Oportebat autem ipſos quidem inceptare facinus, ſtatim
vero illos ſimul opem ferre adverſus ſatellites. Erant autem
non multi coniurati, ut res tutius gereretur. Sperabant enim,
illos etiam, qui prius ignorabant, ſi ipſi vel quomodocunque
hoc facinus auſi fuiſſent, repente, praeſertim cum arma ha-
berent, lubenter ſe ipſos in libertatem pariter aſſerturos.

νζ'. Καὶ ὡς ἐπῆλθεν ἡ ἑορτὴ, Ἱππίας μὲν ἔξω ἐν τῷ Κεραμεικῷ καλουμένῳ μετὰ τῶν δορυφόρων διεκόσμει ὡς ἕκαστα ἐχρῆν τῆς πομπῆς προϊέναι· ὁ δὲ Ἁρμόδιος καὶ ὁ Ἀριστογείτων, ἔχοντες ἤδη τὰ ἐγχειρίδια, ἐς τὸ ἔργον προήεσαν. καὶ ὡς εἶδόν τινα τῶν ξυνωμοτῶν σφίσι διαλεγόμενον οἰκείως τῷ Ἱππίᾳ (ἦν δὲ πᾶσιν εὐπρόσοδος ὁ Ἱππίας) ἔδεισαν, καὶ ἐνόμισαν μεμηνύσθαι τε, καὶ ἐσονεὺκ ἤδη ξυλληφθήσεσθαι. τὸν λυπήσαντα οὖν σφᾶς, καὶ δι' οὗπερ πάντα ἐκινδύνευον, ἐβούλοντο πρότερον, εἰ δύναιντο, προτιμωρήσασθαι· καὶ ὥσπερ εἶχον, ὥρμησαν εἴσω τῶν πυλῶν· καὶ περιέτυχον τῷ Ἱππάρχῳ παρὰ τὸ Λεωκόριον καλούμενον, εὐθὺς ἀπερισκέπτως προσπεσόντες· καὶ ὡς ἂν μάλιστα δι' ὀργῆς, ὁ μὲν ἐρωτικῆς, ὁ δὲ ὑβρισμένος, ἔτυπτον, καὶ ἀποκτείνουσιν αὐ-

LVII. Cum autem feſtum adveniſſet, Hippias quidem extra urbem in loco, qui Ceramicus vocatur, cum ſuis ſatellitibus res ad pompam ſpectantes ornabat, prout ſingulas procedere oportebat. Harmodius vero & Ariſtogiton, cum pugiones iam haberent, ad facinus faciendum prodierant. Et, ut quendam ex coniuratis cum Hippia familiariter colloquentem conſpexere, (aditus enim ad Hippiam omnibus erat facilis) extimuerunt; & exiſtimarunt, rem patefactam eſſe, ſeque iamiam comprehenſum iri. Quamobrem illum, a quo laeſi fuerant, & cuius cauſa de ſumma rerum ſuarum periclitabantur, primum ulciſci volebant, ſi poſſent. Atque ut erant, impetu portas urbis introiverunt. Et Hipparchum nacti ſunt in eo loco, qui Leocorium vocatur, protinus ex improviſo irruentes: & maxima ira impulſi, hic quidem ex amore, ille vero propter contumeliam, qua fuerat affectus, ipſum feriunt, & occidunt. Et Ariſtogiton

ίγ. καὶ ὁ μὲν τοὺς δορυφόρους τοαυτίκα διαφεύγει ὁ
Ἁριστογείτων, ξυνδραμόντος τοῦ ὄχλου, καὶ ὕστερον
ηφθεὶς, οὐ ῥᾳδίως διετέθη· Ἁρμόδιος δὲ αὐτοῦ παρα-
ρῆμα ἀπόλλυται.

νη'. Ἀγγελθέντος δὲ Ἱππίᾳ ἐς τὸν Κεραμεικὸν, οὐκ
τὶ τὸ γενόμενον, ἀλλ' ἐπὶ τοὺς πομπέας τοὺς ὁπλίτας,
ρότερον ἢ αἰσθέσθαι αὐτοὺς ἄπωθεν ὄντας, εὐθὺς
χώρησε, καὶ ἀδήλως τῇ ὄψει πλασάμενος πρὸς τὴν
μφορὰν, ἐκέλευσεν αὐτοὺς, δείξας τὶ χωρίον, ἀπελ-
ῖν ἐς αὐτὸ ἄνευ τῶν ὅπλων. καὶ οἱ μὲν ἀνεχώρησαν,
όμενοί τι ἐρεῖν αὐτόν· ὁ δὲ, τοῖς ἐπικούροις Φράσας τὰ
τλα ὑπολαβεῖν, ἐξελέγετο εὐθὺς οὓς ἐπητιᾶτο, καὶ εἴ-
ς εὑρέθη ἐγχειρίδιον ἔχων. μετὰ γὰρ ἀσπίδος καὶ δόρα-
ος εἰώθησαν τὰς προπομπὰς ποιεῖν.

aidem per ſatellites e veſtigio fuga evaſit; verum, facto
ultitudinis concurſu, & poſtea comprehenſus, haud le-
ter tractatus fuit. Harmodius vero ipſo in loco ſtatim
ccifus eſt.

LVIII. Cum autem nuntius ad Hippiam in Ceramicum
latus fuiſſet, non ad id, quod acciderat, ſed ad pompae
uctores armatos, priuſquam illi rem reſciſcerent, lon-
iuſcule abſentes, confeſtim ſe convertit; vultuque ad ca-
mitatem diſſimulandam compoſito, locum quendam oſten-
it, & in illum ſine armis abſcedere iuſſit. Et illi quidem
o ſe receperunt, exiſtimantes, illum aliquid dicturum. Ille
ero ſatellitibus imperans, ut arma ſubtraherent, protinus
os delegit, quos inſimulabat criminis, & ſi quis cum pu-
ione deprehenſus eſſet. Nam cum ſcuto & haſta pompas
roſequi conſueverant.

νθ'. Τοιούτῳ μὲν τρόπῳ δι' ἐρωτικὴν λύπην ἥ τε ἀρχὴ τῆς ἐπιβουλῆς, καὶ ἡ ἀλόγιστος τόλμα ἐκ τοῦ παραχρῆμα περιδεοῦς Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐγένετο. τοῖς δ' Ἀθηναίοις χαλεπωτέρα μετὰ τοῦτο ἡ τυραννὶς κατέστη. καὶ ὁ Ἱππίας διὰ φόβου ἤδη μᾶλλον ὤν, τῶν τε πολιτῶν πολλοὺς ἔκτεινε, καὶ πρὸς τὰ ἔξω ἅμα διεσκοπεῖτο, εἴπερ ἀσφάλειάν τινα ὄψοιτο μεταβολῆς γενομένης ὑπάρχουσάν οἱ. Ἱππόκλου γοῦν τοῦ Λαμψακηνοῦ τυράννου Αἰαντίδῃ τῷ παιδὶ θυγατέρα ἑαυτοῦ μετὰ ταῦτα Ἀρχεδίκην (Ἀθηναῖος ὢν Λαμψακηνῷ) ἔδωκεν, αἰσθανόμενος αὐτοὺς μέγα παρὰ βασιλεῖ Δαρείῳ δύνασθαι. καὶ αὐτῆς σῆμα ἐν Λαμψάκῳ ἐστὶν, ἐπίγραμμα ἔχον τόδε·

Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ,
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις·

LIX. Hoc igitur modo, propter amatoriam indignationem, & coniurationis initium factum eſt, & audax illud facinus propter repentinum metum ab Harmodio & Ariſtogitone ſuſceptum eſt. Poſtea vero tyrannis Athenienſibus aſperior fuit. Et Hippias iam ſibi metuens vehementius, quam ante, multos cives interfecit, & ſimul ad externa auxilia reſpicere coepit, ſi quid praeſidii alicunde ſibi paratum cerneret, mutato rerum ſtatu. Poſt haec igitur Aeantidae, Hippocli Lampſacenorum tyranni filio, Archedicen ſuam filiam, Athenienſis Lampſaceno, quod ipſos apud regem Darium auctoritate multum pollere ſciret, nuptum dedit. Ac ipſius monumentum Lampſaci exſtat, cum inſcriptione iſta:

Hippiae apud Graecos Laudem virtutis adepti
Hic pulvis prolem contegit Archedicen,

Ἥ πατρός τε καὶ ἀνδρὸς, ἀδελφῶν τ' οὖσα τυράννων,
Παίδων τ', οὐκ ἤρβη νοῦν ἐς ἀτασθαλίην.

υραννεύσας δὲ ἔτη τρία Ἱππίας ἔτι Ἀθηναίων, καὶ ευσθεὶς ἐν τῷ τετάρτῳ ὑπὸ Λακεδαιμονίων καὶ Ἀλκ-ιωνιδῶν τῶν φευγόντων, ἐχώρει ὑπόσπονδος ἔς τε Σί-ιον, καὶ παρ' Αἰαντίδην ἐς Λάμψακον· ἐκεῖθεν δὲ, ὡς ςιλέα Δαρεῖον. ὅθεν καὶ ὁρμώμενος ἐς Μαραθῶνα τερον ἔτει εἰκοστῷ, ἤδη γέρων ὤν, μετὰ Μήδων ἐ-ράτευσεν.

ξ. Ὧν ἐνθυμούμενος ὁ δῆμος ὁ τῶν Ἀθηναίων, καὶ μνησκόμενος ὅσα ἀκοῇ περὶ αὐτῶν ἠπίστατο, χαλε-ς ἦν τότε καὶ ὑπόπτης ἐς τοὺς περὶ τῶν μυστικῶν τὴν τίαν λαβόντας, καὶ πάντα αὐτοῖς ἐδόκει ἐπὶ ξυνωμο-ς ὀλιγαρχικῇ καὶ τυραννικῇ πεπράχθαι. καὶ ὡς αὐ-ν διὰ τὸ τοιοῦτον ὀργιζομένων, πολλοί τε καὶ ἀξιόλο-

Quae reges habuit, patrem, fratreſque, virumque,
Et natos, haudque eſt facta ſuperba tamen.

ppias autem cum tres deinceps annos tyrannidem apud henienſes obtinuiſſet, & quarto anno a Lacedaemoniis, Alcmaeonidis exſulibus imperio ſpoliatus fuiſſet, fide blica impetrata, Sigeum, & inde Lampſacum, ad Aeam-m eſt profectus: illinc vero, ad regem Darium. Unde ſtea profectus anno viceſimo, iam ſenex, cum Medis Marathonem militavit.

LX. Quae reputans populus Athenienſis, & memoria petens, quaecunque de illis fama acceperat, tunc ſae-s erat, & ſuſpicioſus in eos, qui de myſteriis inſimu-i fuerant; atque omnia ipſi videbantur eo conſilio facta, dominatus paucorum, vel regum, a coniuratis conſti-eretur. Et cum ipſe populus ob hanc rem iraſceretur,

γοι ἄνθρωποι ἤδη ἐν τῷ δεσμωτηρίῳ ἦσαν. καὶ οὐκ ἐν παύλῃ ἐφαίνετο, ἀλλὰ καθ' ἡμέραν ἐπεδίδοσαν μᾶλλον ἐς τὸ ἀγριώτερόν τε καὶ πλείους ἔτι ξυλλαμβάνειν. ἐνταῦθα ἀναπείθεται εἷς τῶν δεδεμένων, ὅσπερ ἐδόκει αἰτιώτατος εἶναι, ὑπὸ τῶν ξυνδεσμωτῶν τινος, εἴτε ἄρα καὶ τὰ ὄντα μηνῦσαι, εἴτε καὶ οὔ. (ἐπ' ἀμφότερα γὰρ εἰκάζεται· τὸ δὲ σαφὲς οὐδεὶς οὔτε τότε, οὔτε ὕστερον ἔχει εἰπεῖν περὶ τῶν δρασάντων τὸ ἔργον) λέγων δὲ ἔπεισεν αὐτὸν ὡς χρὴ, εἰ μὴ καὶ δέδρακεν, αὐτόν τε ἄδειαν ποιησάμενον σῶσαι, καὶ τὴν πόλιν τῆς παρούσης ὑποψίας παῦσαι. βεβαιοτέραν γὰρ αὐτῷ σωτηρίαν εἶναι ὁμολογήσαντι μετ' ἀδείας, ἢ ἀρνηθέντι διὰ δίκης ἐλθεῖν. καὶ ὁ μὲν, αὐτός τε καθ' ἑαυτοῦ καὶ κατ' ἄλλων μηνύει τὸ τῶν Ἑρμῶν. ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων ἄσμενος λαβὼν, ὡς

multos, eoſque claros viros in carcerem iam coniecerat. nec dum ſedatus eſſe videbatur; ſed in dies magis in ſaevitia proficiebat, & longe plures, quam ante, comprehendebat. Interea vero quidam ex iis, qui cum aliis in vinculis erat, cuidam, qui in carcere erat, & qui maxime affinis crimini eſſe videbatur, perſuaſit, ut rem indicaret, ſive vera, ſive non vera eſſet. (nam utrinque ſunt coniecturae. nihil enim certi de illius facinoris auctoribus aut tunc, aut poſtea, a quoquam afferri potuit.) Perſuaſit autem dicens, oportere ipſum, quamvis hoc facinus non perpetraſſet, tamen impetrata impunitate, cum ſe ipſum ſervare, tum etiam civitatem praeſenti ſuſpicione liberare. Salutem enim ipſi certiorem fore dicebat, ſi impunitate impetrata rem faſſus fuiſſet, quam ſi negans iudicium ſubiiſſet. Quamobrem hic & contra ſe, & contra alios indicium profeſſus eſt de violatis Mercurii ſimulacris. Popu-

το, τὸ σαφὲς, καὶ δεινὸν πεισύμενοι πρότερον εἰ τοὺς
ιβουλεύοντας σφῶν τῷ πλήθει μὴ εἴσονται, τὸν μὲν
υτὴν εὐθὺς καὶ τοὺς ἄλλους μετ' αὐτοῦ ὅσων μὴ κατη-
ρήκει, ἔλυσαν. τοὺς δὲ καταιτιαθέντας, κρίσεις ποιή-
ντες, τοὺς μὲν ἀπέκτειναν, ὅσοι ξυνελήφθησαν, τῶν
διαφυγόντων θάνατον καταγνόντες, ἐπανεῖπον ἀργύ-
ν τῷ ἀποκτείναντι. κἂν τούτῳ οἱ μὲν παθόντες ἄδηλον
εἰ ἀδίκως ἐτετιμώρηντο· ἡ μέντοι ἄλλη πόλις ἐν τῷ
ρόντι περιφανῶς ὠφέλητο.

ξα'. Περὶ δὲ τοῦ Ἀλκιβιάδου, ἐναγόντων τῶν ἐχθρῶν,
ρο καὶ πρὶν ἐκπλεῖν αὐτὸν ἐπέθεντο, χαλεπῶς οἱ Ἀ-
αῖοι ἐλάμβανον. καὶ ἐπειδὴ τὸ τῶν Ἑρμῶν ὤοντο σα-
ς ἔχειν, πολὺ δὴ μᾶλλον καὶ τὰ μυστικὰ, ὧν ἐπαί-

vero Athenienſis, lubenter cognita (ut ipſe putabat)
veritate, cum prius indigniſſime ferret, ſi eos, qui ſuae
ıltitudini inſidiabantur, cognoſcere non poſſet, confe-
n dimiſit & ipſum indicem, & ceteros, qui cum ipſo
ınt, & quos ille non accuſaſſet. Illorum vero, qui tunc
iſto delati fuerunt, conſtitutis iudiciis, & cauſa cogni-
, alios quidem occidit, quotquot comprehenſi fuerant;
os vero, fuga dilapſos, morte damnavit, & per praeco-
vocem praemia propoſuit ei, qui damnatos interfeciſ-
. Interea vero non conſtabat, utrum ii, qui capitali
›plicio fuerant affecti, iure, an iniuria ſupplicio affecti
ſſent. Reliqua tamen civitas in praeſentia commodum
hac re manifeſte percepit.

LXI. De Alcibiade vero, inſtigantibus inimicis iiſdem,
ii vel priuſquam ille diſcederet, aggreſſi fuerant, Athe-
enſes delationem iratis animis accipiebant. Poſtquam au-
m de violatis Mercurii ſimulacris rem compertam ſe ha-

τιος ἦν, μετὰ τοῦ αὐτοῦ λόγου καὶ τῆς ξυνωμοσίας ἐπὶ τῷ δήμῳ ἀπ' ἐκείνου ἐδόκει πραχθῆναι. καὶ γάρ τις καὶ στρατιὰ Λακεδαιμονίων οὐ πολλὴ ἔτυχε κατὰ τὸν καιρὸν τοῦτον ἐν ᾧ περὶ ταῦτα ἐθορυβοῦντο, μέχρι ἰσθμοῦ παρελθοῦσα, πρὸς Βοιωτούς τι πράσσοντες. ἐδόκει οὖν, ἐκείνου πράξαντος, καὶ οὐ Βοιωτῶν ἕνεκα, ἀπὸ ξυνθήματος ἥκειν, καὶ, εἰ μὴ ἔφθασαν δὴ αὐτοὶ κατὰ τὸ μήνυμα ξυλλαβόντες τοὺς ἄνδρας, προσδοθῆναι ἂν ἡ πόλις. καί τινα μίαν νύκτα καὶ κατέδαρθον ἐν Θησείῳ τῷ ἐν πόλει ἐν ὅπλοις. οἵ τε ξένοι τοῦ Ἀλκιβιάδου [οἱ] ἐν Ἄργει κατὰ τὸν αὐτὸν χρόνον ὑπωπτεύθησαν τῷ δήμῳ ἐπιτίθεσθαι· καὶ τοὺς ὁμήρους τῶν Ἀργείων τοὺς ἐν ταῖς νήσοις κειμένους οἱ Ἀθηναῖοι τότε παρέδοσαν τῷ Ἀργείων δήμῳ διὰ ταῦτα διαχρήσασθαι. πανταχόθεν τε περιεστήκει

bere exiſtimarunt, tunc vero multo magis etiam myſteria, de quibus pollutis accuſabatur, ab illo polluta fuiſſe videbantur, eodem conſilio, & cum coniuratis, adverſus ſtatum popularem. Nam quidam non magnus Lacedaemoniorum exercitus per hoc ipſum tempus, quo Athenienſes in urbe propter iſtas res perturbabantur, ad Iſthmum uſque progreſſus eſt, neſcio quid adverſus Boeotos moliens. Videbatur igitur, illo ſollicitante, non autem Boeotorum cauſa, ex compoſito veniſſe; &, niſi ipſi per indicium homines illos mature comprehendiſſent, futurum fuiſſe, ut civitas proderetur. Unde etiam unam quandam noctem apud Theſei templum, quod eſt in urbe, ſub armis pernoctarunt. Quin etiam Alcibiadis hoſpites, qui Argis erant, per idem tempus in ſuſpicionem venerunt, fore, ut populum aggrederentur. Argivorum autem obſides, qui collocati fuerant in inſulis, Athenienſes tunc Argivo po-

ὑποψία ἐς τὸν Ἀλκιβιάδην. ὥστε βουλόμενοι αὐτὸν ἐς κρίσιν ἀγαγόντες ἀποκτεῖναι, πέμπουσιν οὕτω τὴν Σαλαμινίαν ναῦν ἐς τὴν Σικελίαν, ἐπί τε ἐκεῖνον, καὶ ὧν περὶ ἄλλων ἐμεμήνυτο. εἴρητο δὲ, προειπεῖν αὐτῷ ἀπολογησομένῳ ἀκολουθεῖν, ξυλλαμβάνειν δὲ μή· θεραπεύοντες τό, τε πρὸς τοὺς ἐν τῇ Σικελίᾳ στρατιώτας τε σφετέρους καὶ πολεμίους μὴ θορυβεῖν, καὶ οὐχ ἥκιστα τοὺς Μαντινέας καὶ Ἀργείους βουλόμενοι παραμεῖναι, δι' ἐκείνου νομίζοντες πεισθῆναι σφᾶς ξυστρατεύειν. καὶ ὁ μὲν, ἔχων τὴν ἑαυτοῦ ναῦν, καὶ οἱ ξυνδιαβεβλημένοι ἀπέπλεον μετὰ τῆς Σαλαμινίας ἐκ τῆς Σικελίας ὡς ἐς τὰς Ἀθήνας· καὶ ἐπειδὴ ἐγένοντο ἐν Θουρίοις, οὐκέτι ξυνείποντο, ἀλλ' ἀπελθόντες ἀπὸ τῆς νεὼς, οὐ φανεροὶ

Bell. Pelop. an. 17. Olymp. 91. 3. U. C. Varr. 339.

pulo his de cauſis interficiendos tradiderunt. Denique ſuſpiciones Alcibiadem undique circumſtabant. Quamobrem Athenienſes, quod eum adductum ad iudicium morte mulctare vellent, ita demum mittunt Salaminiam navem in Siciliam, cum ad illum revocandum, tum ad alios, de quibus indicia delata fuerant. Mandatum autem fuerat, ut ipſi Alcibiadi praeciperent, ut ſe purgaturus ſequeretur, non tamen ipſum comprehenderent: caventes, ne ſui milites, qui erant in Sicilia, tumultum aliquem excitarent, neve hoſtes, hoc animadverſo, caſtra aggrederentur; praecipue vero cupientes, Mantineos & Argivos in illa expeditione permanere, quod exiſtimarent, illos illius opera inductos ad hanc militiae ſocietatem. Hic igitur habens ſuam navem, itemque ii, qui una inſimulati fuerant, ex Sicilia cum navi Salaminia, tanquam Athenas ituri, diſceſſerunt. Et cum in Thuriis fuerunt, illos non amplius ſunt ſecuti, ſed ex navi egreſſi evanuerunt: poſt criminationem ad

ἦσαν· δείσαντες τὸ ἐπὶ διαβολῇ ἐς δίκην καταπλεῦσαι. οἱ δ' ἐκ τῆς Σαλαμινίας, τέως μὲν ἐζήτουν τὸν Ἀλκιβιάδην καὶ τοὺς μετ' αὐτοῦ· ὡς δ' οὐδαμοῦ φανεροὶ ἦσαν, ὤχοντο ἀποπλέοντες. ὁ δὲ Ἀλκιβιάδης, ἤδη φυγὰς ὤν, οὐ πολλῷ ὕστερον ἐπὶ πλοίου ἐπεραιώθη ἐς Πελοπόνησον ἐκ τῆς Θουρίας. οἱ δ' Ἀθηναῖοι ἐρήμῃ δίκῃ θάνατον κατέγνωσαν αὐτοῦ τε καὶ τῶν μετ' ἐκείνου.

ξβ'. Μετὰ δὲ ταῦτα οἱ λοιποὶ τῶν Ἀθηναίων στρατηγοὶ ἐν τῇ Σικελίᾳ, δύο μέρη ποιήσαντες τοῦ στρατεύματος, καὶ λαχὼν ἑκάτερος, ἔπλεον ξὺν παντὶ ἐπὶ Σελινοῦντος καὶ Ἐγέστης· βουλόμενοι μὲν εἰδέναι τὰ χρήματα εἰ δώσουσιν οἱ Ἐγεσταῖοι, κατασκέψασθαι δὲ καὶ τῶν Σελινουντίων τὰ πράγματα, καὶ τὰ διάφορα μαθεῖν τὰ πρὸς Ἐγεσταίους. παραπλέοντες δ' ἐν ἀριστερᾷ τὴν Σικελίαν, τὸ μέρος τὸ πρὸς τὸν Τυρσηνικὸν

iudicium proficiſci non auſi. Qui vero navi Salaminia vehebantur, aliquamdiu quidem Alcibiadem, eiuſque ſocios quaeſiverunt: ſed cum nuſquam apparerent, navigationis curſum conficere perrexerunt. Alcibiades vero, cum iam exſul eſſet, non multo poſt ex agro Thurio in Peloponneſum navigio vectus tranſmiſit. Athenienſes vero illum, & eos, qui cum illo erant, deſerto iudicio, capite condemnarunt.

LXII. Poſtea vero ceteri Athenienſium duces, qui erant in Sicilia, cum exercitum in duas partes diviſiſſent, & uterque ſuam partem ſortito accepiſſet, cum omnibus copiis Selinuntem ac Egeſtam verſus navigarunt: partim quidem, quod ſcire vellent, an Egeſtaei pecunias exercitui promiſſas daturi eſſent; partim vero etiam, ut Selinuntiorum res explorarent, & controverſias cognoſcerent, quae Selinuntiis cum Egeſtaeis intercedebant. Siciliae autem oram

κόλπου, ἔσχον ἐς Ἰμέραν, ἥπερ μόνη ἐν τούτῳ τῷ μέρει τῆς Σικελίας, Ἑλλὰς πόλις ἐστί. καὶ ὡς οὐκ ἐδέχοντο αὐτοὺς, παρεκομίζοντο· καὶ ἐν τῷ παράπλῳ αἱροῦσιν Ὕκκαρα, πόλισμα Σικανικὸν μέν, Ἐγεσταίοις δὲ πολέμιον· ἦν δὲ παραθαλασσίδιον. καὶ ἀνδραποδίσαντες τὴν πόλιν παρέδοσαν Ἐγεσταίοις. παρεγένοντο γὰρ αὐτῶν ἱππεῖς. αὐτοὶ δὲ πάλιν τῷ μὲν πεζῷ ἐχώρουν διὰ τῶν Σικελῶν, ἕως ἀφίκοντο ἐς Κατάνην· αἱ δὲ νῆες περιέπλευσαν τὰ ἀνδράποδα ἄγουσαι. Νικίας δὲ εὐθὺς ἐξ Ὑκκάρων ἐπὶ Ἐγέστης παραπλεύσας, καὶ τἆλλα χρηματίσας, καὶ λαβὼν τάλαντα τριάκοντα, πᾶρῆν ἐς τὸ στράτευμα. καὶ τἀνδράποδα ἀπέδοσαν, καὶ ἐγένετο ἐξ αὐτῶν εἴκοσι καὶ ἑκατὸν τάλαντα. καὶ ἐς τοὺς τῶν Σικελῶν ξυμμάχους περιέπλευσαν, στρατιὰν κελεύον-

a ſiniſtra legentes, ab ea parte, quae ad ſinum Tyrrhenum vergit, Himeram appulerunt, quae ſola, in hac Siciliae parte, eſt Graeca civitas. Cum autem Himeraei ipſos non recepiſſent, praetervecti ſunt. Et dum praetervehe-rentur, ceperunt Hyccara, oppidum Sicanicum quidem, ſed Egeſtaeis hoſtile. erat autem maritimum. Cum autem oppidanos in ſervitutem abſtraxiſſent, oppidum Egeſtaeis tradiderunt. Ipſorum enim equitatus Athenienſibus affuerat. Ipſi vero rurſus cum peditatu quidem per Siculorum agrum iter fecerunt, donec Catanam pervenerunt. Naves vero, quae captivos vehebant, circumvectae ſunt. Nicias autem ex Hyccaris Egeſtam confeſtim praetervectus, cum de ceteris rebus cum Egeſtaeis egiſſet, & triginta talenta ab illis accepiſſet, ad exercitum rediit: & captivos vendidit, & ex ipſis confecta ſunt centum & viginti talenta. Illinc autem Nicias, eiuſque collega cum copiis circumve-

τες πέμπειν· τῇ τε ἡμισείᾳ τῆς ἑαυτῶν ἤλθον ἐπὶ Ὕβλαν τὴν Γελεᾶτιν πολεμίαν οὖσαν, καὶ οὐχ εἷλον. καὶ τὸ θέρος ἐτελεύτα.

ξγ'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς τὴν ἔφοδον οἱ Ἀθηναῖοι ἐπὶ Συρακούσας παρεσκευάζοντο· οἱ δὲ Συρακούσιοι, καὶ αὐτοὶ, ὡς ἐπ' ἐκείνους ἰόντες. ἐπειδὴ γὰρ αὐτοῖς πρὸς τὸν πρῶτον φόβον καὶ τὴν προσδοκίαν οἱ Ἀθηναῖοι οὐκ εὐθὺς ἐπέκειντο, κατά τε τὴν ἡμέραν ἑκάστην προϊοῦσαν ἀνεθάρσουν μᾶλλον, καὶ ἐπειδὴ πλέοντες τά τε ἐπέκεινα τῆς Σικελίας πολὺ ἀπὸ σφῶν ἐφαίνετο, καὶ πρὸς τὴν Ὕβλαν ἐλθόντες καὶ πειράσαντες, οὐχ εἷλον βίᾳ, ἔτι πλέον κατεφρόνησαν. καὶ ἠξίουν τοὺς στρατηγοὺς (οἷον δὴ ὄχλος φιλεῖ θαρσήσας ποιεῖν) ἄγειν σφᾶς ἐπὶ Κατάνην, ἐπειδή γε οὐκ ἐκεῖνοι ἐφ' ἑαυτοὺς

Eti ad ſocios Siculorum iverunt, ac imperarunt, ut exercitum mitterent. Et cum dimidia ſui exercitus parte adverſus Hyblam Geleatin, quae hoſtilis erat, profecti ſunt, nec expugnarunt. Et aeſtas exceſſit.

LXIII. Inſequenti hieme ſtatim Athenienſes ſeſe praeparare coeperunt ad invadendas Syracuſas. Syracuſani vero & ipſi viciſſim, ut adverſus illos ituri, ſe praeparabant. Quod enim ad primum ipſorum pavorem & exſpectationem Athenienſes non protinus ipſos invaſiſſent, quotidie, temporiſque progreſſu magis ac magis ſe ipſos colligebant: item quod, dum illam Siciliae oram praeterveherentur, valde procul ab ipſis proficiſci viſi fuiſſent, & ad Hyblam profecti, eam tentaſſent, nec expugnaſſent, multo magis eos comtemſerunt. Quare duces rogabant, (ut vulgus confidens facere ſolet) ut ſe Catanam verſus ducerent, quandoquidem illi contra ſe non venirent. Quin etiam equites

ἔρχονται. ἱππεῖς τε προσελαύνοντες ἀεὶ κατάσκοποι τῶν Συρακουσίων πρὸς τὸ στράτευμα τῶν Ἀθηναίων, ἐΦύβριζον ἄλλα τε, καὶ εἰ ξυνοικήσοντες σΦίσιν αὐτοῖς μᾶλλον ἥκοιεν ἐν τῇ ἀλλοτρίᾳ, ἢ Λεοντίνους ἐς τὴν οἰκείαν κατοικιοῦντες.

ξδ'. Ἃ γιγνώσκοντες οἱ στρατηγοὶ τῶν Ἀθηναίων, καὶ βούλόμενοι αὐτοὺς ἄγειν πανδημεὶ ἐκ τῆς πόλεως ὁτιπλεῖστον, αὐτοὶ δὲ ταῖς ναυσὶν ἐν τοσούτῳ ὑπὸ νύκτα παραπλεύσαντες στρατόπεδον καταλαμβάνειν ἐν ἐπιτηδείῳ καθ' ἡσυχίαν. εἰδότες οὐκ ἂν ὁμοίως δυνηθέντες, καὶ εἰ ἐκ τῶν νεῶν πρὸς παρεσκευασμένους ἐκβιβάζοιεν, ἢ κατὰ γῆν ἰόντες γνωσθείησαν. τοὺς γὰρ ἂν ψιλοὺς τοὺς σΦῶν, καὶ τὸν ὄχλον, τῶν Συρακουσίων τοὺς ἱππέας πολλοὺς ὄντας, σΦίσι δ' οὐ παρόντων ἱππέων, βλάπτειν ἂν μεγάλα· οὕτω δὲ, λήψεσθαι χωρίον ὅθεν

Syracuſani, qui ad ſpeculandum aſſidue uſque ad Athenienſium caſtra provehebantur, cum alia probra per contumeliam in eos ingerebant, tum vero illud percontabantur, an potius ad ſecum in alieno agro habitandum veniſſent, quam ad Leontinos in propria ſede collocandos.

LXIV. Quae cum cognoſcerent Athenienſium duces, & vellent ipſos Syracuſanos cum univerſo populo ab urbe quam longiſſime abducere, ipſi vero interea ſub noctem cum claſſe praetervecti, locum caſtris idoneum occupare, hoſte nullum negotium ſibi faceſſente. Sciebant enim futurum, ut non perinde poſſent, ſi aut ex navibus adverſus hoſtes iam praeparatos deſcenderent, aut itinere terreſtri euntes ab illis animadverterentur. Suae enim levi armaturae, & multitudini, quod nullus equitatus adhuc ipſis adeſſet, Syracuſanorum equitatum, qui magnus erat, magna detri-

ὑπὸ τῶν ἱππέων οὐ βλάψονται ἄξια λόγου. ἐδίδασκον δ' αὐτοὺς περὶ τοῦ πρὸς τῷ Ὀλυμπιείῳ χωρίου, ὅπερ καὶ κατέλαβον, Συρακουσίων φυγάδες, οἳ ξυνείποντο. τοιόνδε τι οὖν πρὸς ἃ ἐβούλοντο οἱ στρατηγοὶ μηχανῶνται. πέμπουσιν ἄνδρα σφίσι μὲν πιστὸν, τοῖς δὲ τῶν Συρακουσίων στρατηγοῖς τῇ δοκήσει οὐχ ἧσσον ἐπιτήδειον. ἦν δὲ Καταναῖος ὁ ἀνήρ· καὶ ἀπ' ἀνδρῶν ἐκ τῆς Κατάνης ἥκειν ἔφησεν ὧν ἐκεῖνοι τὰ ὀνόματα ἐγίγνωσκον, καὶ ἠπίσταντο ἐν τῇ πόλει ἔτι ὑπολοίπους ὄντας τῶν σφίσιν εὖνων. ἔλεγε δὲ τοὺς Ἀθηναίους αὐλίζεσθαι ἀπὸ τῶν ὅπλων ἐν τῇ πόλει, καὶ εἰ βούλονται ἐκεῖνοι παυδημεὶ ἐν ἡμέρᾳ ῥητῇ ἅμα ἕῳ ἐπὶ τὸ στράτευμα ἐλθεῖν, αὐτοὶ μὲν ἀποκλείσειν τοὺς παρὰ σφίσι, καὶ τὰς ναῦς ἐμπρήσειν, ἐκείνους δὲ ῥᾳδίως τὸ στράτευμα προσ-

menta daturum. Ita vero, ut ipſi facere ſtatuerant, exiſtimabant, ſe locum capturos, unde ab hoſtium equitatu nullum memoratu dignum damnum eſſent accepturi. Ipſos autem Athenienſium duces de occupando loco ad Olympieum ſito, quem etiam occuparunt, Syracuſanorum exſules, qui ipſos ſequebantur, admonuerunt. Duces inquam igitur, ut voti compotes fierent, huiuſmodi commentum machinati ſunt. Mittunt quendam fidei ſibi probatae virum, & Syracuſanorum ducibus non minus amicum, ut ipſi opinabantur, ad quos mittebatur. Erat autem Catanaeus. Et, a quibuſdam Catanaeis miſſum ſe venire, dicebat, quorum illi nomina cognoſcebant, & quos ſuae factionis ſtudioſos in urbe adhuc ſupereſſe ſciebant. Hic autem dicebat, Athenienſes in urbe procul a caſtris pernoctare, &, ſi illi certa die, primo diluculo ad exercitum cum univerſo populo venire vellent, ſe quidem excluſuros eos, qui eſſent apud

βαλόντας τῷ σταυρώματι αἱρήσειν. εἶναι δὲ ταῦτα τοὺς ξυνδράσοντας πολλοὺς Καταναίων, καὶ ἡτοιμάσθαι ἤδη ἀφ' ὧν αὐτὸς ἥκειν.

ξε'. Οἱ δὲ στρατηγοὶ τῶν Συρακουσίων, μετὰ τοῦ καὶ ἐς τὰ ἄλλα θαρσεῖν, καὶ εἶναι ἐν διανοίᾳ καὶ ἄνευ τούτων ἰέναι παρεσκευάσθαι ἐπὶ Κατάνην, ἐπίστευσάν τε τῷ ἀνθρώπῳ πολλῷ ἀπερισκεπτότερον, καὶ εὐθὺς ἡμέραν ξυνθέμενοι ᾗ παρέσονται, ἀπέστειλαν αὐτόν. καὶ αὐτοὶ (ἤδη γὰρ καὶ τῶν ξυμμάχων Σελινούντιοι καὶ ἄλλοι τινὲς παρῆσαν) προεῖπον παυδημεὶ πᾶσιν ἐξιέναι Συρακουσίοις. ἐπεὶ δὲ ἕτοιμα αὐτοῖς καὶ τὰ τῆς παρασκευῆς ἦν, καὶ αἱ ἡμέραι ἐν αἷς ξυνέθεντο ἥξειν, ἐγγὺς ἦσαν, πορευόμενοι ἐπὶ Κατάνης, ηὐλίσαντο ἐπὶ τῷ Συμαίθῳ ποταμῷ, ἐν τῇ Λεοντίνῃ. οἱ δ' Ἀθηναῖοι ὡς ἤσθον-

se, & naves incenſuros; illos vero, ſi vallum adorti fuiſſent, exercitum Athenienſem facile capturos. Permultos autem Catanaeorum ad rem gerendam adiutores fore, & iam paratos eſſe, a quibus ipſe veniret.

LXV. Syracuſanorum autem duces (cum alioqui & ceteris in rebus eſſent confidentiores, & in animo haberent vel ſine his nuntiis adverſus Catanam cum apparatu proficiſci) longe inconſideratiſſime fidem huic homini habuerunt: ſtatimque conſtituta die, ad quam ad Catanam adeſſent, ipſum remiſerunt. Ipſi vero (iam enim Selinuntii & alii nonnulli ex ſociis aderant) Syracuſanis edixerunt, ut cuncti nullo delectu ad exeundum ſe expedirent. Cum autem res omnes ad illam expeditionem neceſſarias iam praeparaſſent, & dies adventaret, ad quam ſe venturos conſtituerant, iter ingreſſi, ut Catanam verſus proficiſcerentur, ad Symaethum flumen, in agro Leontino, caſtra poſue-

το αὐτοὺς προσιόντας, ἀναλαβόντες τό, τε στράτευμα ἅπαν τὸ ἑαυτῶν, καὶ ὅσοι Σικελῶν αὐτοῖς, ἢ ἄλλος τις προσεληλύθει, καὶ ἐπιβιβάσαντες ἐπὶ τὰς ναῦς καὶ τὰ πλοῖα, ὑπὸ νύκτα ἔπλεον ἐπὶ τὰς Συρακούσας. καὶ οἵτε Ἀθηναῖοι ἅμα ἕῳ ἐξέβαινον ἐς τὸν κατὰ τὸ Ὀλυμπίειον, ὡς στρατόπεδον καταληψόμενοι, καὶ οἱ ἱππῆς οἱ Συρακουσίων, πρῶτοι προσελάσαντες ἐς τὴν Κατάνην, καὶ αἰσθόμενοι ὅτι τὸ στράτευμα ἅπαν ἀνῆκται, ἀποστρέψαντες ἀγγέλλουσι τοῖς πεζοῖς. καὶ ξύμπαντες ἤδη ἀποτρεπόμενοι, ἐβοήθουν ἐπὶ τὴν πόλιν.

ξστ'. Ἐν τούτῳ δ' οἱ Ἀθηναῖοι, μακρᾶς οὔσης τῆς ὁδοῦ αὐτοῖς, καθ' ἡσυχίαν ἐκαθίσαν τὸ στράτευμα ἐς χωρίον ἐπιτήδειον, καὶ ἐν ᾧ μάχης τε ἄρξειν ἔμελλον ὁπότε βούλοιντο, καὶ οἱ ἱππῆς τῶν Συρακουσίων ἥκιστ' ἂν αὐτοὺς καὶ ἐν τῷ ἔργῳ καὶ πρὸ αὐτοῦ λυπήσειν. τῇ

runt. Athenienſes vero, cum intelexiſſent ipſos adventare, aſſumtis omnibus copiis, & ſuorum, & Siculorum, quotquot ipſis aderant, & ſi quis alius ad ipſos acceſſerat, eiſque in naves & navigia impoſitis, ſub noctem Syracuſas verſus contenderunt. At Athenienſes, ſimulac dies illuxit, egreſſi ſunt in locum, qui erat iuxta Olympieum, ibi caſtrametaturi: & Syracuſanorum equites, qui primi ad Catanam acceſſerant, & qui cognoverant, totum exercitum claſſe vectum diſceſſiſſe, reverſi rem peditatui ſignificarunt. Tunc vero cuncti regreſſi, ad ſupperias urbi ferendas accurrerunt.

LXVI. Interea vero Athenienſes, quod ipſis longum iter eſſet, per otium caſtra poſuerunt in opportuno loco, & in quo proelii initium erant facturi, quotieſcunque vellent, & vel in ipſo proelio, vel ante proelium ab equitatu Syracuſanorum minime infeſtari poterant. nam ab

μὲν γὰρ, τειχία τε καὶ οἰκίαι εἶργον, καὶ δένδρα, καὶ λίμνη· παρὰ δὲ τὸ, χρημνοί. καὶ τὰ ἐγγὺς δένδρα κόψαντες, καὶ κατενεγκόντες ἐπὶ τὴν θάλασσαν, παρά τε τὰς ναῦς σταύρωμα ἔπηξαν, καὶ ἐπὶ τῷ Δάσκωνι· ἔρυμά τε ᾗ εὐεποδώτατον ἦν τοῖς πολεμίοις, λίθοις λογάδην καὶ ξύλοις διὰ ταχέων ὤρθωσαν, καὶ τὴν τοῦ Ἀνάπου γέφυραν ἔλυσαν. παρασκευαζομένων δὲ, ἐκ μὲν τῆς πόλεως οὐθεὶς ἐξιὼν ἐκώλυε, πρῶτοι δὲ οἱ ἱππῆς τῶν Συρακουσίων προσεβοήθησαν, ἔπειτα δὲ ὕστερον καὶ τὸ πεζὸν ἅπαν ξυνελέγη. καὶ προσῆλθον μὲν ἐγγὺς τοῦ στρατεύματος τῶν Ἀθηναίων τοπρῶτον, ἔπειτα δὲ, ὡς οὐκ ἀντιπροσήεσαν αὐτοῖς, ἀναχωρήσαντες καὶ διαβάντες τὴν Ἑλωρίνην ὁδὸν, ηὐλίσαντο.

ξζ'. Τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι παρεσκευάζοντο ὡς ἐς μάχην, καὶ ξυνετάξαντο ὧδε· δε-

una quidem parte munitiones, aedificia, arbores, & ſtagnum hoſtes prohibebant: ab altera vero, loca praerupta. caeſiſque vicinis arboribus, & ad mare delatis, iuxta naves, & ad Daſconem vallum fixerunt, ab ea vero parte, quae aditu hoſtibus erat facillima, munitionem ex ſaxis electis ligniſque conſtructam celeriter erexerunt, & Anapi pontem ſolverunt. Dum autem hae munitiones fierent, ex urbe quidem nemo egreſſus earum opus impedivit: ſed primi Syracuſanorum equites ad opem ſuis rebus ferendam procurrerunt, deinde vero mox & univerſus peditatus convenit. Et primum quidem ad Athenienſium caſtra propius acceſſerunt, deinde vero, cum illi contra ipſos non prodirent, regreſſi, ac, via Helorina tranſmiſſa, caſtra poſuerunt.

LXVII. Inſequenti vero die Athenienſes eorumque ſocii

ξὶον μὲν κέρας Ἀργεῖοι εἶχον καὶ Μαντινῆς, Ἀθηναῖοι δὲ τὸ μέσον, τὸ δὲ ἄλλο, οἱ ξύμμαχοι οἱ ἄλλοι. καὶ τὸ μὲν ἥμισυ αὐτοῖς τοῦ στρατεύματος ἐν τῷ πρόσθεν ἦν τεταγμένον ἐπὶ ὀκτὼ, τὸ δὲ ἥμισυ ἐπὶ ταῖς εὐναῖς ἐν πλαισίῳ, ἐπὶ ὀκτὼ καὶ τοῦτο τεταγμένον. οἷς εἴρητο, ἤ ἂν τοῦ στρατεύματός τι πονῇ, μάλιστα ἐφορῶντας παραγίγνεσθαι. καὶ τοὺς σκευοφόρους ἐντὸς τούτων τῶν ἐπιτακτῶν ἐποιήσαντο. οἱ δὲ Συρακούσιοι ἔταξαν τοὺς μὲν ὁπλίτας, ἐφ' ἑκκαίδεκα, ὄντας πανδημεὶ Συρακουσίους, καὶ ὅσοι ξύμμαχοι παρῆσαν. ἐβοήθησαν δὲ αὐτοῖς Σελινούντιοι μὲν μάλιστα, ἔπειτα δὲ καὶ Γελώων ἱππῆς, τὸ ξύμπαν ἐς διακοσίους· καὶ Καμαριναίων ἱππῆς ὅσον εἴκοσι, καὶ τοξόται ὡς πεντήκοντα. τοὺς δὲ ἱππέας ἐπε-

ut ad proelium ſe praepararunt, & aciem hoc modo inſtruxerunt. Dextrum quidem cornu tenebant Argivi & Mantinei, Athenienſes vero medium agmen, alterum vero cornu ceteri ſocii tenebant. Et dimidium quidem ipſorum exercitus ſic erat inſtructum, ut in fronte octoni milites ſtarent: dimidium vero, quod erat ad tentoria, & ipſum octonis militibus erat inſtructum, ita tamen, ut agminis longitudo latitudinem longe ſuperaret. Quibus praeceptum fuerat, ut, qua parte exercitus laboraret, diligentiſſime obſervantes ſe conferrent. Atque intra hos, qui in ſubſidiis collocati fuerant, lixas poſuerunt. Syracuſani vero ſuos gravis armaturae milites, qui erant Syracuſani ex omni totius populi ordine atque aetate collecti, & ſocios, quotquot aderant, ſic inſtruxerunt, ut deni ſeni in aciei fronte ſtarent. Auxilium autem ipſis tulerunt in primis quidem Selinuntii, mox vero & Geloi equites, univerſi ad ducentos. Et Camarinaeorum equites ad viginti, & ſagit-

τάξαντο ἐπὶ τῷ δεξιῷ, οὐκ ἔλασσον ὄντας ἢ διακοσίους καὶ χιλίους· παρὰ δ' αὐτοὺς, καὶ τοὺς ἀκοντιστάς. μέλλουσι δὲ τοῖς Ἀθηναίοις προτέροις ἐπιχειρήσειν ὁ Νικίας, κατά τε ἔθνη ἐπιπαριὼν ἕκαστα, καὶ ξύμπασι τοιάδε παρεκελεύετο.

ξή. Πολλὴ μὲν παραινέσει, ὦ ἄνδρες, τί δεῖ χρῆσθαι, εἰ πάρεσμεν ἐπὶ τὸν αὐτὸν ἀγῶνα; αὕτη γὰρ ἡ παρασκευὴ ἱκανωτέρα μοι δοκεῖ εἶναι θάρσος παρασχεῖν, ἢ καλῶς λεχθέντες λόγοι, μετὰ ἀσθενοῦς στρατοπέδου. ὅπου γὰρ Ἀργεῖοι, καὶ Μαντινῆς, καὶ Ἀθηναῖοι, καὶ νησιωτῶν οἱ πρῶτοι ἐσμὲν, πῶς οὐ χρὴ μετὰ τοιῶνδε καὶ τοσῶνδε ξυμμάχων πάντα τινὰ μεγάλην τὴν ἐλπίδα τῆς νίκης ἔχειν; ἄλλως τε καὶ πρὸς ἄνδρας πανδημεί τε ἀμυνομένους, καὶ οὐκ ἀπολέκτους ὥσπερ

tarii circiter quinquaginta. Equites autem in dextro cornu collocarunt, non pauciores, quam mille & ducentos. Iuxta autem ipſos, & iaculatores. Cum autem Athenienſes proelium priores inituri eſſent, Nicias & ſingulas gentes, ut quamque adibat, & univerſas huiuſmodi verbis adhortabatur.

LXVIII. *Longa adhortatione, viri, quid opus eſt nos uti, qui ad idem certamen adſumus? Hic enim apparatus ad confidentiam vobis praebendam magis valere mihi videtur, quam verba praeclare facta, quae copiarum firmitate careant. Ubi enim ſumus Argivi, & Mantinei, & Athenienſes, & praecipui inter inſularum incolas, quomodo non oportet quemlibet cum talibus totque ſociis magnam de victoria ſpem habere? praeſertim adverſus homines, qui copias, ex omni totius populi ordine ac aetate raptim & nullo delectu habito collectas, ad noſtram vim propulſandam ducunt: non autem adverſus viros delectos, quales nos*

καὶ ἡμᾶς· καὶ προσέτι Σικελιώτας, οἳ ὑπερφρονοῦσι μὲν ἡμᾶς, ὑπομενοῦσι δὲ οὐ, διὰ τὸ τὴν ἐπιστήμην τῆς τόλμης ἧσσω ἔχειν. παραστήτω δέ τινι καὶ τόδε, πολύ τε ἀπὸ τῆς ἡμετέρας αὐτῶν εἶναι, καὶ πρὸς γῇ οὐδεμιᾷ φιλίᾳ, ἥντινα μὴ αὐτοὶ μαχόμενοι κτήσεσθε. καὶ τοὐναντίον ὑπομιμνήσκω ὑμᾶς ἡ οἱ πολέμιοι σφίσιν αὐτοῖς (εὖ οἶδ' ὅτι) παρακελεύονται. οἱ μὲν γὰρ, ὅτι περὶ πατρίδος ἔσται ὁ ἀγών· ἐγὼ δὲ, ὅτι οὐκ ἐν πατρίδι, ἐξ ἧς κρατεῖν δεῖ, ἢ μὴ ῥᾳδίως ἀποχωρεῖν. οἱ γὰρ ἱππῆς πολλοὶ ἐπικείσονται. τῆς τε οὖν ὑμετέρας αὐτῶν ἀξίας μνησθέντες, ἐπέλθετε τοῖς ἐναντίοις προθύμως, καὶ τὴν παροῦσαν ἀνάγκην καὶ ἀπορίαν σφαλερωτέραν ἡγησάμενοι τῶν πολεμίων.

ξθ'. Ὁ μὲν Νικίας, τοιαῦτα παρακελευσάμενος, ἦγε τὸ στρατόπεδον εὐθύς. οἱ δὲ Συρακούσιοι ἀπροσδόκητοι μὲν ἐν τῷ καιρῷ τούτῳ ἦσαν ὡς ἤδη μαχούμενοι,

sumus. Praeterea adversus Sicilienses, qui nos quidem contemnunt, sed tamen non sustinebunt, quod plus audaciae, quam peritiae, habeant. Illud etiam in mentem unicuique veniat, nos & procul a nostrae patriae finibus abesse, & in nullo amico solo, nisi quod vos ipsi pugnando quaesieritis. Atque ego vos admoneo, contra ac hostes (quod probe scio) se ipsos adhortantur. Illi enim, quod pro patria certamen ipsis sit futurum: at ego vos admoneo non in patrio solo; unde oportet nos victoria potitos reverti, aut non facile reverti posse. Nam permulti equites nobis instabunt. Vestrae igitur ipsorum dignitatis memores, hostes alacriter invadatis, & praesentem necessitatem atque difficultatem, quam adversarios, terribiliorem esse ducatis.

LXIX. Nicias autem talibus adhortatus, copias confestim adversus hostem duxit. Syracusani vero tunc quidem

καί τινες αὐτοῖς ἐγγὺς τῆς πόλεως οὔσης καὶ ἐπεληλύθεσαν· οἱ δὲ καὶ διὰ σπουδῆς προσβοηθοῦντες δρόμῳ, ὑστέριζον μέν, ὡς δὲ ἕκαστός πη τοῖς πλείοσι προσμίξειε, καθίσταντο. οὐ γὰρ δὴ προθυμίᾳ ἐλλιπεῖς ἦσαν, οὐδὲ τόλμῃ, οὔτ' ἐν ταύτῃ τῇ μάχῃ οὔτ' ἐν ταῖς ἄλλαις· ἀλλὰ τῇ μὲν ἀνδρείᾳ οὐχ ἥσσους, ἐς ὅσον ἡ ἐπιστήμη ἀντέχοι· τῷ δὲ ἐλλείποντι αὐτῆς, καὶ τὴν βούλησιν ἄκοντες προὐδίδοσαν. ὅμως δὲ οὐκ ἂν οἰόμενοι σφίσι τοὺς Ἀθηναίους προτέρους ἐπελθεῖν, καὶ διὰ τάχους ἀναγκαζόμενοι ἀμύνασθαι, ἀναλαβόντες τὰ ὅπλα, εὐθὺς ἀντεπῆσαν. καὶ πρῶτον μὲν αὐτῶν ἑκατέρων οἵ τε λιθοβόλοι καὶ σφενδονῆται καὶ τοξόται προὐμάχοντο· καὶ τροπὰς, οἵας εἰκὸς ψιλοὺς, ἀλλήλων ἐποίουν. ἔπειτα δὲ μάντεις

non exſpectabant ſibi iam dimicandum eſſe. quin etiam, ipſorum nonnulli in urbem, quae vicina erat, abierant. alii vero feſtinabundi ad ſuos adiuvandos accurrentes, tardius quidem perveniebant; verumtamen ut ſinguli ad aliquos exercitus ordines accedebant, in iis ſeſe collocabant. Nam nec in iſto proelio, nec in aliis, aut alacritate, aut audacia hoſtibus inferiores fuerunt. Sed virtute quidem illis non fuerunt inferiores, quatenus rei militaris ſcientia ſuppetebat. Eius vero defectu, alacritatem etiam inviti amittebant. Verumtamen, quod non opinarentur Athenienſes priores contra ſe venturos, quodque celeriter propulſare cogerentur, ſumtis armis, confeſtim obviam ipſi prodierunt. Ac primum quidem utriuſque exercitus velites, qui lapides manu iaculabantur, & funditores, & ſagittarii ante pugnabant: & alii alios in fugam viciſſim vertebant, ut veriſimile eſt fieri inter levis armaturae milites. Deinde vero vates protulerunt hoſtias more receptas, &

τε σάγια προύφερον τὰ νομιζόμενα, καὶ σαλπιγκταὶ ξύνοδον ἐπώτρυνον τοῖς ὁπλίταις. οἱ δ' ἐχώρουν, Συρακούσιοι μὲν περί τε πατρίδος μαχούμενοι, καὶ τῆς ἰδίας, ὡς ἕκαστος, τὸ μὲν αὐτίκα, σωτηρίας, τὸ δὲ μέλλον, ἐλευθερίας. τῶν δὲ ἐναντίων, Ἀθηναῖοι μὲν, περί τε τῆς ἀλλοτρίας οἰκείαν σχεῖν, καὶ τὴν οἰκείαν μὴ βλάψαι ἡσσώμενοι· Ἀργεῖοι δὲ, καὶ τῶν ξυμμάχων οἱ αὐτόνομοι, ξυνεκτήσασθαί τε ἐκείνοις ἐφ' ἃ ἦλθον, καὶ τὴν ὑπάρχουσαν σφίσι πατρίδα, νικήσαντες, πάλιν ἐπιδεῖν. τὸ δ' ὑπήκοον τῶν ξυμμάχων, μέγιστον μὲν περὶ τῆς αὐτίκα ἀνελπίστου σωτηρίας, ἣν μὴ κρατῶσι, τὸ πρόθυμον εἶχον· ἔπειτα δὲ ἐν παρέργῳ καὶ εἴτι ἄλλο ξυγκαταστρεψαμένοις ῥᾷον αὐτοῖς ὑπακούσεται.

ο'. Γενομένης δ' ἐν χερσὶ τῆς μάχης, ἐπιπολὺ ἀντεῖ-

tubicines ad congreſſum milites incitabant. Illi vero in hoſtem tendebant, Syracuſani quidem, pro patria pugnaturi, & unuſquiſque in praeſentia pro ſua ſalute, & in poſterum, libertate. Ex hoſtibus vero, Athenienſes quidem pro alieno ut proprium haberent, neve domeſticum agrum victi detrimento afficerent: Argivi vero, & qui ex ſociis liberi erant, ut & illos Athenienſes adiuvarent in quaerendis rebus illis, quarum cauſa illuc venerant, utque ſuam quique patriam victores reviſerent. Socii vero, qui aliorum imperio parebant, praecipue quidem animum alacrem habebant propter praeſentem ſalutem, de qua, niſi viciſſent, deſperabant. Deinde vero, ſecundo loco ad proelium committendum erant alacres, ut ſi quam etiam aliam gentem una cum Athenienſibus ſubegiſſent, ipſis facilius parerent.

LXX. Cum autem ad pugnam manuſque ventum eſſet, ad multas horas alteri alteris reſtiterunt. Interea vero

γον ἀλλήλοις· καὶ ξυνέβη βροντάς τε ἅμα τινὰς γειέσθαι καὶ ἀστραπὰς, καὶ ὕδωρ πολύ. ὥστε τοῖς μὲν πρῶτον μαχομένοις, καὶ ἐλάχιστα πολέμῳ ὡμιληκόσι, καὶ τοῦτο ξυνεπιλαβέσθαι τοῦ φόβου· τοῖς δ' ἐμπειροτέροις, τὰ μὲν γιγνόμενα, καὶ ὥρᾳ ἔτους περαίνεσθαι δοκεῖν, τοὺς δὲ ἀνθεστῶτας, πολὺ μείζω ἔκπληξιν μὴ νικωμένους παρέχειν. ὡσαμένων δὲ πρῶτον τῶν Ἀργείων τὸ εὐώνυμον κέρας τῶν Συρακουσίων, καὶ μετ' αὐτοὺς τῶν Ἀθηναίων τὸ κατὰ σφᾶς αὐτοὺς, παρερρήγνυτο ἤδη καὶ τὸ ἄλλο στράτευμα τῶν Συρακουσίων, καὶ ἐς φυγὴν κατέστη. καὶ ἐπιπολὺ μὲν οὐκ ἐδίωξαν οἱ Ἀθηναῖοι (οἱ γὰρ ἱππῆς τῶν Συρακουσίων πολλοὶ ὄντες καὶ ἀήσσητοι εἶργον· καὶ ἐσβαλόντες ἐς τοὺς ὁπλίτας αὐτῶν, εἴτινας προσδιώκοντας ἴδοιεν, ἀνέστελλον) ἐπακολουθήσαντες δὲ ἀθρόοι ὅσον ἀσφαλῶς εἶχε, πάλιν Novembri.

contigit, ut & aliquot tonitrua & fulgura, & ingens pluvia simul exsisteret. Quamobrem illis quidem, qui tunc primum pugnabant, & qui in bellis minime versati fuerant, hoc etiam maiorem terrorem incussit. Illis vero, qui peritiores erant, ea, quae fiebant, propter anni tempus fieri videbantur; sed illud ipsis maiorem terrorem incutiebat, quod adversarii non vincerentur. Cum autem primi omnium Argivi laevum Syracusanorum cornu pepulissent, & post ipsos Athenienses agmen sibi oppositum, tunc & reliquus Syracusanorum exercitus perruptus est, & fugere coepit. Sed Athenienses non longe persecuti sunt: (nam Syracusanorum equites, qui permulti, iique invicti erant, prohibebant. Et impressione facta in gravem ipsorum armaturam, si quos longius insequentes animadvertissent, eos reprimebant) sed conferti, quoad tuto potuere, persecu-

ἐπανεχώρουν, καὶ τροπαῖον ἵστασαν. οἱ δὲ Συρακούσιοι, ἀθροισθέντες ἐς τὴν Ἑλωρινὴν ὁδὸν, καὶ ὡς ἐκ τῶν παρόντων ξυνταξάμενοι, ἔς τε τὸ Ὀλυμπίειον ὅμως σφῶν αὐτῶν παρέπεμψαν φυλακὴν, δείσαντες μὴ οἱ Ἀθηναῖοι τῶν χρημάτων ἃ ἦν αὐτόθι κινήσωσι· καὶ οἱ λοιποὶ ἐπανεχώρησαν ἐς τὴν πόλιν.

οα΄. Οἱ δὲ Ἀθηναῖοι πρὸς μὲν τὸ ἱερὸν οὐκ ἦλθον, ξυγκομίσαντες δὲ τοὺς ἑαυτῶν νεκροὺς, καὶ ἐπὶ πυρὰν ἐπιθέντες, ἐκόμισαντο αὐτοῦ. τῇ δ' ὑστεραίᾳ τοῖς μὲν Συρακουσίοις ἀπέδοσαν ὑποσπόνδους τοὺς νεκρούς· (ἀπέθανον δὲ αὐτῶν καὶ τῶν ξυμμάχων περὶ ἑξήκοντα καὶ διακοσίους) τῶν δὲ σφετέρων τὰ ὀστᾶ ξυνέλεξαν. ἀπέθανον δὲ αὐτῶν καὶ τῶν ξυμμάχων ὡς πεντήκοντα. καὶ τὰ τῶν πολεμίων σκῦλα ἔχοντες, ἀπέπλευσαν ἐς Κατάνην. χειμών τε γὰρ ἦν, καὶ τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι,

ti, retro ſe receperunt, & tropaeum ſtatuerunt. Syracuſani vero in via Helorina congregati, pro praeſenti rerum ſtatu & facultate acie inſtructa, praeſidium tamen e ſuorum numero ad Olympicum miſerunt, veriti, ne Athenienſes pecunias, quae illic erant, amoverent. ceteri vero in urbem redierunt.

LXXI. Athenienſes vero ad templum quidem non iverunt: ſed, congeſtis ſuorum cadaveribus ac pyrae impoſitis, ibi pernoctarunt. Poſtero vero die Syracuſanis quidem ſua cadavera, fide publica ipſis data, reddiderunt: (ipſorum vero & ſociorum ad ducentos & ſexaginta cecideruntſ) ſuorum vero oſſa collegerunt. Ipſorum vero & ſociorum obierunt ad quinquaginta. Et cum hoſtium ſpoliis Catanam navigarunt. Erat enim hiems, & bellum illinc nondum adminiſtrari poſſe videbatur, priuſquam & Athe-

οὕπω ἐδόκει δυνατὸν εἶναι, πρὶν ἂν ἱππέας τε μεταπέμψωσιν ἐκ τῶν Ἀθηνῶν, καὶ ἐκ τῶν αὐτόθεν ξυμμάχων ἀγείρωσιν, ὅπως μὴ παντάπασιν ἱπποκρατῶνται· καὶ χρήματα δὲ ἅμα αὐτόθεν τε ξυλλέξωνται, καὶ παρ' Ἀθηναίων ἔλθῃ· τῶν τε πόλεων τινὰς προσαγάγωνται, ἃς ἤλπιζον μετὰ τὴν μάχην μᾶλλον σφῶν ὑπακούσεσθαι· τά τε ἄλλα καὶ σῖτον καὶ ὅσων δέοι παρασκευάσωνται, ὡς εἰς τὸ ἔαρ ἐπιχειρήσοντες ταῖς Συρακούσαις.

οβ'. Καὶ οἱ μὲν, ταύτῃ τῇ γνώμῃ ἀπέπλευσαν ἐς τὴν Νάξον καὶ Κατάνην διαχειμάσοντες· Συρακούσιοι δὲ, τοὺς σφετέρους αὐτῶν νεκροὺς θάψαντες, ἐκκλησίαν ἐποίουν. καὶ παρελθὼν αὐτοῖς Ἑρμοκράτης ὁ Ἕρμωνος, ἀνὴρ καὶ ἐς τὰ ἄλλα ξύνεσιν οὐδενὸς λειπόμενος, καὶ κατὰ τὸν πόλεμον ἐμπειρίᾳ τε ἱκανὸς γενόμενος, καὶ ἀνδρείᾳ ἐπιφανὴς, εὐθάρσουνέ τε, καὶ οὐκ εἴα τῷ γεγενη-

nis equites arceſſerent, & alios ex ſociis, qui regionem illam incolebant, cogerent, ne prorſus equitatu ſuperarentur. ſimul etiam ut illinc pecunias colligerent, utque aliae Athenis afferrentur. Quin etiam ut aliquas civitates ſibi adiungerent, quas poſt pugnam ſibi facilius obtemperaturas eſſe ſperabant. Item ut cum alia, tum etiam commeatum & cetera, quibus opus eſſet, praepararent, quod ineunte vere Syracuſas aggredi ſtatuiſſent.

LXXII. Atque hi quidem hoc conſilio Naxum & Catanam navigarunt, ut illic hibernarent. Syracuſani vero, ſuis mortuis ſepultis, concionem coëgerunt. Tunc autem in mediam ipſorum multitudinem progreſſus Hermocrates, Hermonis filius, vir cum ceteris in rebus prudentia nulli ſecundus, tum etiam rerum bellicarum peritia uſuque potens, & fortitudine inſignis, ipſos confirmabat, neque

μένῳ ἐνδιδόναι. τὴν μὲν γὰρ γνώμην αὐτῶν οὐχ ἡσσῆσθαι, τὴν δὲ ἀταξίαν βλάψαι. οὐ μέντοι τοσοῦτόν γε λειφθῆναι ὅσον εἰκὸς εἶναι, ἄλλως τε τοῖς πρώτοις τῶν Ἑλλήνων ἐμπειρίᾳ ἰδιώτας ὡς εἰπεῖν χειροτέχνας ἀνταγωνισαμένους. μέγα δὲ βλάψαι καὶ τὸ πλῆθος τῶν στρατηγῶν, καὶ τὴν πολυαρχίαν (ἦσαν γὰρ πεντεκαίδεκα οἱ στρατηγοὶ αὐτοῖς) τῶν τε πολλῶν τὴν ἀξύντακτον ἀναρχίαν. ἢν δὲ ὀλίγοι τε στρατηγοὶ γένωνται ἔμπειροι, καὶ ἐν τῷ χειμῶνι τούτῳ παρασκευάσωσι τὸ ὁπλιτικὸν, οἷς τε ὅπλα μὴ ἔστιν ἐκπορίζοντες, ὅπως ὡς πλεῖστοι ἔσονται, καὶ τῇ ἄλλῃ μελέτῃ προσαναγκάζοντες, ἔφη κατὰ τὸ εἰκὸς κρατήσειν σφᾶς τῶν ἐναντίων, ἀνδρείας μὲν σφίσιν ὑπαρχούσης, εὐταξίας δὲ ἐς τὰ ἔργα

propter id, quod acciderat, animum deſpondere ſinebat. Non ipſorum animum ſuperatum fuiſſe, dicebat; ſed ordinum confuſionem nocuiſſe. neque tamen ipſos adeo ſuperatos fuiſſe, ut veriſimile erat, ipſos ſuperatum iri; praeſertim quod idiotae & propemodum artifices cum iis pugnaſſent, qui rei militaris peritia primi Graecorum cenſebantur. Quin etiam ipſam ducum multitudinem & imperatorum turbam, (erant enim ipſis quindecim duces) & confuſam multorum manum, quae nullius imperio parebat, multum ipſis offeciſſe dicebat. Quod ſi pauci, iique periti imperatores eſſent, atque per eam hiemem gravis armaturae milites praepararent, & ſubminiſtrarent, quibus deeſſent arma, ut quam maximus eſſet militum graviter armatorum numerus, & in ceteris rei bellicae ſtudiis eos ſeſe exercere cogerent, affirmabat, ipſos (ut credibile videbatur) adverſariis ſuperiores futuros; quod fortitudo quidem ipſis iam adeſſet, ordinis vero conſervatio in re-

προσγενομένης. ἐπιδώσειν γὰρ ἀμφότερα αὐτὰ, τὴν μὲν, μετὰ κινδύνων μελετωμένην, τὴν δ' εὐψυχίαν, αὐτὴν ἑαυτῆς, μετὰ τοῦ πιστοῦ τῆς ἐπιστήμης, θαρσαλεωτέραν ἔσεσθαι. τούς τε στρατηγοὺς, καὶ ὀλίγους καὶ αὐτοκράτορας χρῆναι ἑλέσθαι, καὶ ὀμόσαι αὐτοῖς τὸ ὅρκιον, ἢ μὴν ἐάσειν ἄρχειν ὅπη ἂν ἐπίστωνται. οὕτω γὰρ, ἅ, τε κρύπτεσθαι δεῖ, μᾶλλον ἂν στέγεσθαι, καὶ τἆλλα κατὰ κόσμον καὶ ἀπροφασίστως παρασκευασθῆναι.

ογ'. Καὶ οἱ Συρακούσιοι, αὐτοῦ ἀκούσαντες, ἐψηφίσαντό τε πάντα ὡς ἐκέλευε, καὶ στρατηγὸν αὐτόν τε εἵλοντο τὸν Ἑρμοκράτην, καὶ Ἡρακλείδην τὸν Λυσιμάχου, καὶ Σικανὸν τὸν Ἐξηκέστου, τούτους τρεῖς. καὶ ἐς τὴν Κόρινθον καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις ἀπέστειλαν, ὅπως ξυμμαχία τε αὐτοῖς παραγένηται, καὶ τὸν πρὸς Ἀθηναίους πόλεμον βεβαιότερον πείσωσι ποιεῖσθαι

bus gerendis eſſet acceſſura. Haec enim ambo progreſſus eſſe factura: hanc quidem ordinis conſervationem, cum periculis exultam; animi vero praeſentiam, coniunctam cum fiducia ſcientiae, ipſam ſe ipſa confidentiorem atque firmiorem fore. Imperatores vero, & paucos, & cum ſumma poteſtate creandos, & religioſo iureiurando promittendum ipſis, fore, ut populus imperare ſinat, pro ea ſcientia, qua praediti fuerint. Sic enim & ea, quae ſunt celanda, facilius celatum iri, & cetera recte atque ordine & ſine ulla tergiverſatione praeparatum iri.

LXXIII. Syracuſani vero, cum eum audiſſent, omnia in eius ſententiam decreverunt, ipſumque Hermocratem imperatorem crearunt, & Heraclidem Lyſimachi, & Sicanum Execeſti filium. Hos tres. Quin etiam Corinthum & Lacedaemonem legatos miſerunt, ut auxilia ſibi mitteren-

ἐκ τοῦ πρόσθεν ὑπὲρ σφῶν τοὺς Λακεδαιμονίους· ἵνα ἢ ἀπὸ τῆς Σικελίας ἀπαγάγωσιν αὐτούς, ἢ πρὸς τὸ ἐν Σικελίᾳ στράτευμα ἧσσον ὠφέλειαν ἄλλην ἐπιπέμπωσι.

ϟδ'. Τὸ δ' ἐν τῇ Κατάνῃ στράτευμα τῶν Ἀθηναίων ἔπλευσεν εὐθὺς ἐπὶ Μεσσήνην, ὡς προδοθησομένην. καὶ ἃ μὲν ἐπράσσετο, οὐκ ἐγένετο. Ἀλκιβιάδης γὰρ, ὅτε ἀπῄει ἐκ τῆς ἀρχῆς ἤδη μετάπεμπτος, ἐπιστάμενος ὅτι Σεύξοιτο, μηνύει τοῖς τῶν Συρακουσίων φίλοις τοῖς ἐν Μεσσήνῃ, ξυνειδὼς τὸ μέλλον. οἱ δὲ τούς τε ἄνδρας διέφθειραν πρότερον, καὶ τότε στασιάζοντες καὶ ἐν ὅπλοις ὄντες, ἐπεκράτουν μὴ δέχεσθαι τοὺς Ἀθηναίους οἱ ταῦτα βουλόμενοι. ἡμέρας δὲ μείναντες περὶ τρισκαίδεκα οἱ Ἀθηναῖοι, ὡς ἐχειμάζοντο, καὶ τὰ ἐπιτήδεια οὐκ εἶχον, καὶ προὐχώρει οὐδέν, ἀπελθόντες ἐς Νάξον καὶ Θρᾷκας,

tur, utque Lacedaemoniis perſuaderent, ut bellum adverſus Athenienſes maiore ſtudio propalam pro ſe adminiſtrarent; ut ipſos vel a Sicilia abducerent, vel ad exercitum, qui in Sicilia erat, aliud auxilium mittere minus poſſent.

LXXIV. Claſſis autem Athenienſium, quae ad Catanam erat, Meſſanam verſus continuo navigavit, quod eam per proditionem captum iri ſperarent. Sed quae ſtruebantur, non ſucceſſerunt. Alcibiades enim, cum iam Athenas revocatus imperium depoſuiſſet, ſciens ſe exſulem fore, Syracuſanorum amicis, qui Meſſanae erant, futuram urbis proditionem, cuius erat conſcius, indicavit. Illi vero, qui haec volebant, & homines interfecerunt prius, quam Athenienſes ad urbem accederent; & tunc, cum ob ſeditionem ortam in armis eſſent, obtinuerunt, ne Athenienſes reciperentur. Athenienſes vero, ſtativis illic tredecim circiter dies habitis, cum tempeſtate iactarentur, neque commea-

σταύρωμα περὶ τὸ στρατόπεδον ποιησάμενοι, αὐτοῦ διεχείμαζον. καὶ τριήρη ἀπέστειλαν ἐς τὰς Ἀθήνας ἐπί τε χρήματα καὶ ἱππέας, ὅπως ἅμα τῷ ἦρι παραγένωνται.

οε'. Ἐτείχιζον δὲ καὶ οἱ Συρακούσιοι ἐν τῷ χειμῶνι πρός τε τῇ πόλει, τὸν Τεμενίτην ἐντὸς ποιησάμενοι, τεῖχος παρὰ πᾶν τὸ πρὸς τὰς Ἐπιπολὰς ὁρῶν, ὅπως μὴ δι' ἐλάσσονος εὐαποτείχιστοι ὦσιν, ἢν ἄρα σφάλωνται· καὶ τὰ Μέγαρα φρούριον, καὶ ἐν τῷ Ὀλυμπιείῳ ἄλλο. καὶ τὴν θάλασσαν προεσταύρωσαν πανταχῇ ᾗ ἀποβάσεις ἦσαν. καὶ τοὺς Ἀθηναίους εἰδότες ἐν τῇ Νάξῳ χειμάζοντας, ἐστράτευσαν πανδημεὶ ἐπὶ τὴν Κατάνην· καὶ τῆς τε γῆς αὐτῶν ἔτεμον, καὶ τὰς τῶν Ἀθηναίων σκηνὰς καὶ τὸ στρατόπεδον ἐμπρήσαντες, ἀνεχώρησαν ἐπ' οἴκου. καὶ πυνθανόμενοι τοὺς Ἀθηναίους ἐς τὴν Καμα-

tum haberent, neque quidquam ſuccederet, Naxum reverſi, & claſſe vallo munita, illic hibernarunt: & triremem Athenas miſerunt, pecuniarum & equitatus gratia, ut haec primo vere ſtatim adeſſent.

LXXV. Per eam hiemem Syracuſani quoque murum excitaverunt prope urbem a tota illa parte, quae Epipolas ſpectat, Temenitem complexi, ne, ſi forte cladem aliquam accepiſſent, propter anguſtiorem urbis ambitum facile circumvallarentur. Et praeſidium Megara miſerunt, & alterum in Olympieo collocarunt. Quin etiam quacunque ex parte exſcenſus e navibus in terram fieri poterat, mare vallo praecluſum muniverunt. Et cum ſcirent, Athenienſes apud Naxum hibernare, cum frequentibus copiis, ex omni totius populi ordine collectis, expeditionem adverſus Catanam ſuſceperunt. Et ipſorum agrum vaſtarunt, &, Athenienſium tabernaculis caſtriſque incenſis, domum

Bell. Pelop. an. 1°. Olymp. 91. 2. U. C. Varr. 340.

ρίναν, κατὰ τὴν ἐπὶ Λάχητος γενομένην ξυμμαχίαν, πρεσβεύεσθαι, εἴπως προσαγάγοιντο αὐτοὺς, ἀντεπρεσβεύοντο καὶ αὐτοί. ἦσαν γὰρ ὕποπτοι αὐτοῖς οἱ Καμαριναῖοι μὴ προθύμως σφίσι μήτ' ἐπὶ τὴν πρώτην μάχην πέμψαι ἃ ἔπεμψαν· ἔς τε τὸ λοιπὸν μὴ οὐκέτι βούλωνται ἀμύνειν, ὁρῶντες τοὺς Ἀθηναίους ἐν τῇ μάχῃ εὖ πράξαντας, προσχωρῶσι δ' αὐτοῖς, κατὰ τὴν προτέραν συμμαχίαν πεισθέντες. ἀφικομένων οὖν ἐκ μὲν Συρακουσῶν, Ἑρμοκράτους, καὶ ἄλλων ἐς τὴν Καμαρίναν, ἀπὸ δὲ τῶν Ἀθηναίων, Εὐφήμου μετ' ἐτέρων, ὁ Ἑρμοκράτης, ξυλλόγου γενομένου τῶν Καμαριναίων, βουλόμενος προσδιαβαλεῖν τοὺς Ἀθηναίους, ἔλεγε τοιάδε.

cap. 76. Οὐ τὴν παροῦσαν δύναμιν τῶν Ἀθηναίων, ὦ Καμαριναῖοι, μὴ αὐτὴν καταπλαγῆτε δείσαντες, ἐ-

redierunt. Praeterea cum intellexiſſent, Athenienſes Camarinam legatos miſiſſe pro iure ſocietatis cum Camarinaeis initae, quo tempore Laches in Siciliam ab Athenienſibus cum claſſe miſſus ivit, ſi quo pacto ipſos ſibi adiungere poſſent, ipſi quoque viciſſim legatos eo miſerunt. Camarinaei enim ipſis erant ſuſpecti, ne non alacriter ea ipſis miſiſſent, quae ad ſuperiorem pugnam miſerant, & ne deinceps opem ferre recuſarent, quia videbant, Athenienſes in proelio rem feliciter geſſiſſe, ſed veteris amicitiae iure adducti ſe ipſis adiungerent. Cum igitur Syracuſis quidem Hermocrates, aliique Camarinam perveniſſent, ab Athenienſibus vero Euphemus cum aliis collegis eo miſſi fuiſſent; Hermocrates, coacto Camarinaeorum concilio, maiorem invidiam Athenienſibus conflare volens, hanc habuit orationem.

LXXVI. *Non ideo legati ad vos ſumus, viri Camarinaei,*

πρεσβευσάμεθα· ἀλλὰ μᾶλλον τοὺς μέλλοντας ἀπ' αὐτῶν λόγους, πρίν τι καὶ ἡμῶν ἀκοῦσαι, μὴ ὑμᾶς πείσωσιν. ἥκουσι γὰρ ἐς τὴν Σικελίαν, προφάσει μὲν, ἢ πυνθάνεσθε, διανοίᾳ δὲ, ἣν πάντες ὑποπτεύομεν. καί μοι δοκοῦσιν οὐ Λεοντίνους βούλεσθαι κατοικίσαι, ἀλλ' ἡμᾶς μᾶλλον ἐξοικίσαι. οὐ γὰρ δὴ εὔλογον τὰς μὲν ἐκεῖ πόλεις ἀναστάτους ποιεῖν, τὰς δὲ ἐνθάδε κατοικίζειν· καὶ Λεοντίνων μὲν Χαλκιδέων ὄντων, κατὰ τὸ ξυγγενὲς κήδεσθαι, Χαλκιδέας δὲ τοὺς ἐν Εὐβοίᾳ (ὧν οἵδε ἄποικοί εἰσι) δουλωσαμένους ἔχειν. τῇ δὲ αὐτῇ ἰδέᾳ ἐκεῖνά τε ἔσχον, καὶ τὰ ἐνθάδε νῦν πειρῶνται. ἡγεμόνες γὰρ γενόμενοι ἑκόντων τῶν τε Ἰώνων, καὶ ὅσοι ἀπὸ σφῶν ἦσαν ξύμμαχοι, ὡς ἐπὶ τοῦ Μήδου τιμωρίᾳ, τοὺς μὲν, λειποστρατίαν, τοὺς δὲ, ἐπ' ἀλλήλους στρατεύειν, τοῖς

quod vereamur, ne praeſentibus Athenienſium copiis terreaminì: ſed potius metuentes, ne, priuſquam aliquid a nobis quoque dictum audieritis, illi verbis, quae ſunt facturi, vobis rem perſuadeant. Veniunt enim in Siciliam eo quidem praetextu, quem audiſtis; eo vero animo, quo omnes ſuſpicamur. Nam non Leontinos in ſuas ſedes reſtituere, ſed potius nos ex noſtris ſedibus expellere velle mihi videntur. Nec enim rationi conſentaneum videtur, eos illas quidem urbes, quae illic ſunt, evertere: eas vero, quae hic ſunt, condere, & civium in priſtinas ſedes reductorum numero frequentes reddere: & de Leontinis quidem, qui ſunt Chalcidenſes, propter cognationis ius ſollicitos eſſe; Chalcidenſes vero, qui ſunt in Euboea, (quorum iſti ſunt coloni) ſervitute premere. Sed eadem ratione & res illas occuparunt, & res iſtas nunc occupare conantur. Cum enim & Iones, ceterique ſocii, quotquot ipſorum erant coloni, imperium ad eos ultro detuliſſent, ut Medum ulciſcerentur, eorum alios quidem, deſertae militiae

δ' ὡς ἑκάστοις τινὰ εἶχον αἰτίαν εὐπρεπῆ ἐπενεγκόντες, κατεστρέψαντο. καὶ οὐ περὶ τῆς ἐλευθερίας ἄρα οὔτε οὗτοι τῶν Ἑλλήνων, οὔθ' οἱ Ἕλληνες τῆς ἑαυτῶν, τῷ Μήδῳ ἀντέστησαν, περὶ δὲ οἱ μὲν σοφίσιν ἀλλὰ μὴ ἐκείνῳ καταδουλώσεως, οἱ δ', ἐπὶ δεσπότου μεταβολῇ, οὐκ ἀξυνετωτέρου, κακοξυνετωτέρου δέ.

οζ'. Ἀλλ' οὐ γὰρ δὴ τὴν τῶν Ἀθηναίων εὐκατηγόρητον οὖσαν πόλιν νῦν ἥκομεν ἀποφανοῦντες ἐν εἰδόσιν ὅσα ἀδικεῖ· πολὺ δὲ μᾶλλον ἡμᾶς αὐτοὺς αἰτιασόμενοι, ὅτι ἔχοντες παραδείγματα τῶν τε ἐκεῖσ' Ἑλλήνων, ὡς ἐδουλώθησαν, οὐκ ἀμυνόντες σοφίσιν αὐτοῖς, καὶ νῦν ἐφ' ἡμᾶς ταῦτα παρόντα σοφίσματα, Λεοντίνων τε ξυγγενῶν κατοικίσεις, καὶ Ἐγεσταίων ξυμμάχων ἐπικουρίας, οὐ

crimen ipſis inferentes, alios vero, quod inter ſe bellum gererent, accuſantes, alios etiam, prout ſingulis aliquod ſpecioſum atque probabile crimen obiicere poterant, criminantes, in ſervitutem redegerunt. Ergo neque iſti Athenienſes pro Graecorum libertate conſervanda, neque ceteri Graeci pro ſua ipſorum libertate retinenda Medis reſtiterunt. Sed hi quidem, ut Graecos in ſuam, non autem in illius Medi poteſtatem redigerent: illi vero, ut dominum mutarent, & alium haberent non inſipientiorem, ſed aſtutiorem.

LXXVII. *Quamquam non propterea nunc venimus, ut accuſationem in Athenienſium civitatem, licet abunde criminum copia ſuppetat adverſus eam, apud vos inſtituamus, qui probe noſtis omnes eius iniurias, ſed multo magis, ut nos ipſos accuſemus, qui, cum habeamus ob oculos exempla Graecorum, qui illic ſunt, quomodo in ſervitutem ab ipſis redacti fuerint, quod ſibi ipſis opem non tulerint, & nunc iſta praeſentia commenta adverſus nos, ſcilicet & Leontinorum cognatorum in ſuam civitatem reſtitutiones, & Egeſtaeorum ſociorum ſuppetias, quas ſe ipſis*

ξυστραφέντες βουλόμεθα πρεσβυμότερον δεῖξαι αὐτοῖς ὅτι οὐκ Ἴωνες τάδε εἰσὶν, οὐδ' Ἑλλησπόντιοι, καὶ νησιῶται, οἳ δεσπότην ἢ Μῆδον, ἢ ἕνα γέ τινα αἰεὶ μεταβάλλοντες, δουλοῦνται· ἀλλὰ Δωριεῖς, ἐλεύθεροι ἀπ' αὐτονόμου τῆς Πελοποννήσου τὴν Σικελίαν οἰκοῦντες. ἢ μένομεν ἕως ἂν ἕκαστοι κατὰ πόλεις ληφθῶμεν, εἰδότες ὅτι ταύτῃ μόνον ἁλωτοί ἐσμεν, καὶ ὁρῶντες αὐτοὺς ἐπὶ τοῦτο τὸ εἶδος τρεπομένους, ὥστε τοὺς μὲν λόγοις ἡμῶν διιστάναι, τοὺς δὲ ξυμμάχων ἐλπίδι ἐκπολεμοῦν πρὸς ἀλλήλους, τοῖς δὲ ὡς ἑκάστοις τὶ προσηνὲς λέγοντες, δύανται κακουργεῖν. καὶ οἰόμεθα, τοῦ ἄπωθεν ξυνοίκου προαπολλυμένου, οὐκ ἐς αὐτόν τινα ἥξειν τὸ δεινὸν, πρὸ δὲ αὐτοῦ μᾶλλον τὸν πάσχοντα, καθ' ἑαυτὸν δυστυχεῖν.

οη'. Καὶ εἴτω ἄρα παρέστηκε, τὸν μὲν Συρακούσιον, ἑαυτὸν δ' οὐ πολέμιον εἶναι τῷ Ἀθηναίῳ, καὶ δεινὸν ἡγεῖ-

ferre ſimulant, nolimus conſpirantes, alacriter ipſis oſtendere, nos non eſſe Iones, neque Helleſpontios, neque inſularum incolas, qui dominum aut Medum, aut quemlibet alium, ſemper commutantes, ſerviunt; ſed Dorienſes, qui liberi ex libera Peloponneſo proſecti, Siciliam incolunt. An exſpectamus, donec oppidatim ſinguli capiamur? cum ſciamus, nos hac una ratione capi poſſe, & animadvertamus, eos ad hanc artem animos appellere, ut alios quidem de nobis oratione diſſocient, alios vero ſpe ſocietatis ad mutuum bellum concitent, alios vero, prout poſſunt, ſingulis aliquid blandi dicentes, detrimento afficiant? Et exiſtimamus, ſi vicinus, qui remotior eſt, prius perierit, calamitatem ad quemlibet alium de nobis non perventuram: ſed potius pro unoquoque noſtrûm, illum, qui in calamitatem inciderit, ſolum infelicem fore.

LXXVIII. *Quod ſi cui forte in mentem venit, Syracuſanum quidem, at non ſe ipſum Athenienſium eſſe hoſtem, & durum*

ται ὑπέρ γε τῆς ἐμῆς κινδυνεύειν, ἐνθυμηθείτω οὐ περὶ τῆς ἐμῆς μᾶλλον, ἐν ἴσῳ δὲ καὶ τῆς ἑαυτοῦ ἅμα ἐν τῇ ἐμῇ μαχούμενος· τοσούτῳ δὲ καὶ ἀσφαλέστερον, ὅσῳ οὐ προδιεφθαρμένου ἐμοῦ, ἔχων δὲ ξύμμαχον ἐμὲ, καὶ οὐκ ἔρημος, ἀγωνιεῖται· τόν τε Ἀθηναῖον μὴ τὴν τοῦ Συρακουσίου ἔχθραν κολασασθαι, τῇ δ' ἐμῇ προφάσει τὴν ἐκείνου φιλίαν οὐχ ἧσσον βεβαιώσασθαι βούλεσθαι. εἴτε τις φθονεῖ μὲν, ἢ καὶ σέβεται (ἀμφότερα γὰρ τάδε πάσχει τὰ μείζω) διὰ δὲ αὐτὰ τὰς Συρακούσας κακωθῆναι μὲν, ἵνα σωφρονισθῶμεν, βούλεται, περιγενέσθαι δὲ ἕνεκα τῆς αὐτοῦ ἀσφαλείας, οὐκ ἀνθρωπείας δυνάμεως βούλησιν ἐλπίζει. οὐ γὰρ οἷόν τε ἅμα τῆς τε ἐπιθυμίας καὶ τῆς τύχης τὸν αὐτὸν ὁμοίως ταμίαν γενέσθαι. καὶ εἰ γνώμῃ ἁμάρτοι, τοῖς αὐτοῦ κακοῖς ὀλοφυρθείς, τάχ' ἂν ἴσως καὶ τοῖς ἐμοῖς ἀγαθοῖς ποτε βου-

ſibi putat eſſe pro mea patria periclitari, is cogitet, ſe non magis pro mea, ſed pariter atque ſimul pro ſua ipſius in mea pugnaturum: & eo tutius, quod, me non prius everſo, ſed me ſocium habens, nec ope deſtitutus, ſit pugnaturus. Item cogitet, Athenienſem nolle Syracuſanorum inimicitias ulciſci: ſed hoc meo praetextu, quo ſimulat, ſe mihi ut hoſti bellum inferre, veſtram amicitiam ſibi conciliatam non minus confirmare velle. Verum ſi quis invidet nobis, aut etiam nos metuit, (qui enim ſunt potentiores, utroque hoc incommodo premuntur) & propterea Syracuſas damno quidem affici cupit, ut ſimus modeſtiores, ſuperſtites tamen eſſe, propter ſuam ipſius incolumitatem, is non humanarum virium ſpem concipit. Fieri enim non poteſt, ut idem ſimul & pariter ſuae voluntatis atque fortunae ſit arbiter. Quare ſi fruſtretur opinione, ob ſua ipſius mala deploratus, ſuoque damno doctus, fortaſſe meis etiam bonis aliquando rurſus ut prius invidere cupiet. Sed

ληθείη αὖθις ϕθονῆσαι. ἀδύνατον δὲ προεμένῳ, καὶ μὴ τοὺς αὐτοὺς κινδύνους οὐ περὶ τῶν ὀνομάτων ἀλλὰ περὶ τῶν ἔργων ἐξελήσαντι προσλαβεῖν. λόγῳ μὲν γὰρ, τὴν ἡμετέραν δύναμιν σώζοι ἄν τις, ἔργῳ δὲ, τὴν αὐτοῦ σωτηρίαν. καὶ μάλιστα εἰκὸς ἦν ὑμᾶς, ὦ Καμαριναῖοι, ὁμόρους ὄντας, καὶ τὰ δεύτερα κινδυνεύσοντας, προορᾶσθαι αὐτὰ, καὶ μὴ μαλακῶς, ὥσπερ νῦν, ξυμμαχεῖν, αὐτοὺς δὲ, πρὸς ἡμᾶς μᾶλλον ἰόντας, ἅπερ ἂν εἰ ἐς τὴν Καμαριναίαν πρῶτον ἀφίκοντο οἱ Ἀθηναῖοι, δεόμενοι ἂν ἐπεκαλεῖσθε, ταῦτα ἐκ τοῦ ὁμοίου καὶ νῦν παρακελευομένους, ὅπως μηδὲν ἐνδώσωμεν, ϕαίνεσθαι. ἀλλ' οὐδ' ὑμεῖς νῦν γέ πω, οὔθ' οἱ ἄλλοι, ἐπὶ ταῦτα ὥρμησθε.

οθ'. Δειλία δὲ ἴσως τὸ δίκαιον πρός τε ἡμᾶς καὶ πρὸς τοὺς ἐπιόντας θεραπεύσετε, λέγοντες ξυμμαχίαν εἶναι

hoc impoſſibile fuerit ei, qui nos deſeruerit, & qui eadem non de verbis, ſed de rebus pericula nobiſcum ſuſcipere recuſaverit. Qui enim nos tuebitur, is nomine quidem noſtram potentiam, ſed re ipſa ſuam ipſius ſalutem tuebitur. Et ſane, Camarinaei, decebat vos praecipue, qui eſtis finitimi, & qui ſecundo loco eſtis periclitaturi, iſta pericula, nobis omnibus impendentia, proſpicere, neque ſegniter, quemadmodum nunc feciſtis, auxilium nobis ferre: ſed potius ipſos ad nos venire, & nos palam hortari, ne animo ſuccumberemus, & nobis eadem nunc etiam proponere, quae nobis propoſuiſſetis, ope noſtra indigentes, eamque implorantes, ſi Athenienſes veſtrum agrum Camarinaeum prius invaſiſſent. Sed neque vos adhuc, neque ceteri has cogitationes ſuſcepiſtis.

LXXIX. *Fortaſſe vero propter veſtram ignaviam, cum erga nos, tum etiam erga illos, qui nos invadunt, aequitatem colctis, vobis cum Athenienſibus ſocietatem eſſe dicentes: quam profecto*

ὑμῖν πρὸς Ἀθηναίους· ἦν γε οὐκ ἐπὶ τοῖς φίλοις ἐποιήσασθε, τῶν δὲ ἐχθρῶν ἤν τις ἐφ' ὑμᾶς ἴῃ· καὶ τοῖς γε Ἀθηναίοις βοηθεῖν, ὅταν ὑπ' ἄλλων, καὶ μὴ αὐτοὶ, ὥσπερ νῦν, τοὺς πέλας ἀδικῶσιν· ἐπεὶ οὐδ' οἱ Ῥηγῖνοι ὄντες Χαλκιδεῖς, Χαλκιδέας ὄντας Λεοντίνους ἐθέλουσι ξυγκατοικίζειν. καὶ δεινὸν εἰ ἐκεῖνοι μὲν τὸ ἔργον τοῦ καλοῦ δικαιώματος ὑποπτεύοντες, ἀλόγως σωφρονοῦσιν, ὑμεῖς δ' [ἐν] εὐλόγῳ προφάσει, τοὺς μὲν φύσει πολεμίους βούλεσθε ὠφελεῖν, τοὺς δὲ ἔτι μᾶλλον φύσει ξυγγενεῖς μετὰ τῶν ἐχθίστων διαφθεῖραι. ἀλλ' οὐ δίκαιον· ἀμύνειν δὲ, καὶ μὴ φοβεῖσθαι τὴν παρασκευὴν αὐτῶν. οὐ γὰρ ἢν ἡμεῖς ξυστῶμεν πάντες, δεινή ἐστιν, ἀλλ' ἢν (ὅπερ οὗτοι σπεύδουσι) τἀναντία διαστῶμεν. ἐπεὶ οὐδὲ

non adverſus amicos contraxiſtis, ſed adverſus hoſtes, ſi quis contra vos veniret: utque Athenienſibus ſuccurretis, quoties ab aliis iniuriam acciperent, non autem quoties ipſi (ut nunc) iniuriam aliis facerent. Nam ne Rhegini quidem, qui ſunt Chalcidenſes, una cum Athenienſibus Leontinos, qui ſunt Chalcidenſes, in ſuas ſedes reſtituere volunt. Et ſane indignum eſt, ſi illi quidem hoc Athenienſium factum, quod honeſtae petitionis ſpecie velatur, ſuſpectum habentes, praeter id, quod rationi conſentaneum videtur, ſapiunt: vos vero, qui occaſionem rationi conſentaneam habetis, illos quidem, qui natura ſunt hoſtes, iuvare vultis; illos vero, qui vel multo magis natura ſunt cognati, una cum inimiciſſimis funditus perdere. Atqui hoc minime aequum eſt: ſed potius aequum eſt, vos nobis opem ferre, nec ipſorum apparatum formidare. Nec enim, ſi coniungamur omnes, eſt formidabilis; ſed ſi (quod iſti facere ſtudent) contra disiungamur. Siquidem, quamvis contra nos ſolos venerint, & proelio ſuperiores

ρὲς ἡμᾶς μόνους ἐλθόντες καὶ μάχῃ περιγενόμενοι ἔπραξαν ἃ ἠβούλοντο, ἀπῆλθον δὲ διὰ τάχους.

π'. Ὥστε οὐκ ἀβρόους γε ὄντας εἰκὸς ἀθυμεῖν, ἰέναι ε ἐς τὴν ξυμμαχίαν προθυμότερον. ἄλλως τε καὶ ἀπὸ Ιελοποννήσου παρεσομένης ὠφελείας, οἳ τῶνδε χρείσους εἰσὶ τὸ παράπαν τὰ πολέμια. καὶ μὴ ἐκείνην τὴν ροθυμίαν δοκεῖν, τῷ ἡμῖν μὲν ἴσην εἶναι, ὑμῖν δὲ ἀσφαῆ, τὸ μηδετέροις δῆ, ὡς καὶ ἀμφοτέρων ὄντας ξυμμάους, βοηθεῖν. οὐ γὰρ ἔργῳ ἴσον ὥσπερ τῷ δικαιώματί ττιν. εἰ γὰρ δι' ὑμᾶς μὴ ξυμμαχήσαντας ὅ, τε παθὼν σαλήσεται, καὶ ὁ κρατῶν περιέσται, τί ἄλλο ἢ τῇ ὑτῇ ἀπουσίᾳ, τοῖς μὲν οὐκ ἠμύνατε σωθῆναι, τοὺς δὲ ικ ἐκωλύσατε κακοὺς γενέσθαι; καίτοι κάλλιον, τοῖς δικουμένοις καὶ ἅμα ξυγγενέσι προσθεμένους, τήν τε

ceſſerint, tamen non peregerunt, quaecunque cupiebant, ſed celeriter abierunt.

LXXX. *Quamobrem, ſi omnes in unum coëamus, non decet os animos deïicere, ſed belli ſocietatem alacriter inire: praeſertim cum auxilium nobis ex Peloponneſo ſit venturum, homines licet, qui ſunt iſtis in re bellica longe praeſtantiores. Neque exiſtimandum eſt, illud ſtudium eſſe ſtudium, quod nobis quidem aequum, vobis vero tutum ſit; quod videlicet neutris opem ferre velitis, quia utrorumque ſocii eſtis. Neque enim ut verbis, quibus veſtram cauſam tuemini, ſic etiam re ipſa haec veſtra auxilii recuſatio eſt aequa. Nam ſi propter vos, qui nobis auxilium ferre recuſatis, is, qui oppugnatus fuerit, evertatur, & is, qui eum expugnaverit, victor evadat, quid aliud feceritis, niſi quod his quidem, propter eandem veſtram abſentiam, nullum auxilium tuleritis, ut ſervari poſſent; illos vero, ne mali eſſent, non prohibueritis. Atqui honeſtius eſt, illis, qui iniuriam patiuntur, &*

κοινὴν ὠφέλειαν τῇ Σικελίᾳ φυλάξαι, καὶ τοὺς Ἀθηναίους φίλους δὴ ὄντας μὴ ἐᾶσαι ἁμαρτεῖν. ξυνελόντες τε λέγομεν οἱ Συρακούσιοι, ἐκδιδάσκειν μὲν οὐδὲν ἔργον εἶναι σαφῶς, οὔτε ὑμᾶς, οὔτε τοὺς ἄλλους, περὶ ὧν αὐτοὶ οὐδὲν χεῖρον γιγνώσκετε· δεόμεθα δὲ, καὶ μαρτυρόμεθα ἅμα, εἰ μὴ πείσομεν, ὅτι ἐπιβουλευόμεθα μὲν ὑπὸ Ἰώνων ἀεὶ πολεμίων, προδιδόμεθα δὲ ὑπὸ ὑμῶν, Δωριεῖς Δωριέων. καὶ εἰ καταστρέψονται ἡμᾶς Ἀθηναῖοι, ταῖς μὲν ὑμετέραις γνώμαις κρατήσουσι, τῷ δ' αὐτῶν ὀνόματι τιμηθήσονται· καὶ τῆς νίκης οὐκ ἄλλου τινὰ ἄθλον ἢ τὸν τὴν νίκην παρασχόντα λήψονται. καὶ εἰ αὖ ἡμεῖς περιεσόμεθα, τῆς αἰτίας τῶν κινδύνων οἱ αὐτοὶ τὴν τιμωρίαν ὀφέξετε. σκοπεῖτε οὖν, καὶ αἱρεῖσθε ἤδη ἢ τὴν αὐτίκα ἀκινδύνως δουλείαν, ἢ καὶ περιγενό-

qui praeterea ſunt veſtri cognati, vos adiunctos & commune Siciliae commodum tueri, & Athenienſes, qui iam ſunt vobis amici, non ſinere peccare. Sed, ut rem totam paucis comprehenſam expediamus, nos Syracuſani dicimus, nullius eſſe negotii plane docere aut vos, aut alios, de rebus illis, quas vos ipſi non minus, quam quivis alius, cognoſcitis. Precamur vero, ſimul & teſtificamur, niſi vobis perſuaſerimus, ut nobis opem feratis, nos inſidiis appeti ab Ionibus perpetuis hoſtibus, & a vobis prodi, Dorienſes a Dorienſibus. Et ſi Athenienſes nos ſubegerint, veſtris quidem conſiliis culpaque victores evaſuros, ſed ſuo ipſorum nomine honorem habituros; & pro victoriae praemio nullum alium, quam illum ipſum, qui victoriam ipſis ſubminiſtrarit, accepturos. Quod ſi contra victoria penes nos fuerit, vos ipſos, ut noſtrorum periculorum auctores, poenas nobis daturos. Quare rem conſiderate, atque iam nunc eligite aut ſervitutem, quae nullum in praeſentia periculum habet, aut noſtram ſocietatem, ut, ſi no-

μενοι μεθ' ἡμῶν, τούσδε τε μὴ αἰσχρῶς δεσπότας λαβεῖν, καὶ τὴν πρὸς ἡμᾶς ἔχθραν μὴ ἀν βραχεῖαν γενομένην διαφυγεῖν.

πά. Τοιαῦτα μὲν ὁ Ἑρμοκράτης εἶπεν. ὁ δ' Εὔφημος ὁ τῶν Ἀθηναίων πρεσβευτὴς, μετ' αὐτὸν, τοιάδε.

πβ. ΑΦΙΚΟΜΕΘΑ μὲν ἐπὶ τῆς πρότερον οὔσης ξυμμαχίας ἀνανεώσει· τοῦ δὲ Συρακουσίου καθαψαμένου, ἀνάγκη καὶ περὶ τῆς ἀρχῆς εἰπεῖν, ὡς εἰκότως ἔχομεν. τὸ μὲν οὖν μέγιστον μαρτύριον αὐτὸς εἶπεν, ὅτι οἱ Ἴωνες ἀεί ποτε πολέμιοι τοῖς Δωριεῦσίν εἰσιν. ἔχει δὲ καὶ οὕτως. ἡμεῖς γὰρ, Ἴωνες ὄντες, Πελοποννησίοις Δωριεῦσι, καὶ πλείοσιν οὖσι καὶ παροικοῦσιν, ἐσκεψάμεθα ὅτῳ τρόπῳ ἥκιστα αὐτῶν ὑπακουσόμεθα. καὶ μετὰ τὰ Μηδικὰ ναῦς κτησάμενοι, τῆς μὲν Λακεδαιμονίων ἀρχῆς καὶ ἡγεμονίας ἀπηλλάγημεν, οὐδὲν προσῆκον μᾶλλόν τι ἐκείνους ἡμῖν ἢ καὶ ἡμᾶς ἐκείνοις ἐπιτάσσειν, πλὴν

biſcum viceritis, ne turpiter iſtos dominos habeatis, utque noſtras inimicitias non breves futuras devitetis.

LXXXI. Atque Hermocrates quidem haec dixit. Euphemus vero Athenienſium legatus, poſt ipſum haec verba fecit.

LXXXII. *VENERAMUS quidem, ut priſtinam ſocietatem renovaremus: ſed quoniam Syracuſanus nos inceſſit, neceſſarium eſt etiam de imperio noſtro verba facere, ut hoc a nobis iure obtineri demonſtremus. Maximum igitur huius rei teſtimonium ipſe perhibet, qui dixit, Iones Dorienſium hoſtes ſemper exſtitiſſe. Et res ita ſe habet. Nos enim, qui ſumus Iones, rationem iniimus, qua Peloponneſiis, qui ſunt Dorienſes, & plures, quam nos, & iidem accolae, minime obediremus. Et poſt Medicum bellum, patata claſſe, Lacedaemoniorum imperio & principatu liberati ſumus, quia non magis decebat, illos nobis, quam etiam nos ipſos*

καθόσον ἐν τῷ παρόντι μεῖζον ἴσχυον. αὐτοὶ δὲ τῶν ὑπὸ τῷ βασιλεῖ πρότερον ὄντων ἡγεμόνες καταστάντες οἰκοῦμεν, νομίσαντες ἥκιστ' ἂν ὑπὸ Πελοποννησίοις οὕτως εἶναι, δύναμιν ἔχοντες ἢ ἀμυνούμεθα. καὶ, ἐς τὸ ἀκριβὲς εἰπεῖν, οὐδὲ ἀδίκως καταστρεψάμενοι τούς τε Ἴωνας καὶ νησιώτας, οὓς ξυγγενεῖς ὄντας ἡμᾶς Συρακούσιοι δεδουλῶσθαι. ἦλθον γὰρ ἐπὶ τὴν μητρόπολιν ἐφ' ἡμᾶς μετὰ τοῦ Μήδου, καὶ οὐκ ἐτόλμησαν ἀποστάντες τὰ οἰκεῖα σῴζειν, ὥσπερ ἡμεῖς ἐκλιπόντες τὴν πόλιν· δουλείαν δὲ αὐτοί τε ἐβούλοντο, καὶ ὑμῖν τὸ αὐτὸ ἐπενεγκεῖν.

πγ'. Ἀνθ' ὧν ἄξιοί τε ὄντες ἅμα ἄρχομεν, ὅτι τε ναυτικὸν πλεῖστόν τε καὶ προθυμίαν ἀπροφάσιστον παρεσχόμεθα ἐς τοὺς Ἕλληνας, καὶ διότι καὶ τῷ Μήδῳ

illis imperare, niſi quatenus tunc temporis nobis potentiores erant. Nos etiam Græcorum, qui regis imperio prius parebant, duces creati, res adminiſtramus, exiſtimantes, ſic nos in Peloponneſiorum poteſtatem minime venturos eſſe, ſi potentiam habeamus, qua vim propulſemus. Atque (ut vere dicam) imperium obtinemus, non iniuria in noſtram poteſtatem redactis Ionibus ac inſularum incolis, quos Syracuſani a nobis in ſervitutem redactos aiunt, quamvis noſtri cognati eſſent. Nam adverſus nos, metropolin ſuam, cum Medo venerant, nec auſi ſunt defectionem a Medo facere, & res domeſticas profligare, quemadmodum nos, qui noſtram urbem olim deſeruimus; ſed & ipſi ſervitutem pati, & nobis idem imponere volebant.

LXXXIII. *Quamobrem hoc imperio potimur, ſimul quod eo digni ſimus, tum quia maximum navium numerum ſuppeditavimus, tum quia ſine tergiverſatione ſtudium erga Græcos contulimus, tum etiam quia iſti idem ſtudium alacriter Medo præſtan-*

ἐτοίμως τοῦτο δρῶντες αὐτοὶ ἡμᾶς ἔβλαπτον· ἅμα δὲ τῆς πρὸς Πελοποννησίους ἰσχύος ἀρεγόμενοι. καὶ οὐκ ἄλλῳ ἑπόμεθα, ὡς ἢ τὸν βάρβαρον μόνοι καθελόντες, εἰκότως ἄρχομεν, ἢ ἐπ' ἐλευθερίᾳ τῇ τῶνδε μᾶλλον ἢ τῶν ξυμπάντων τε καὶ τῇ ἡμετέρᾳ αὐτῶν κινδυνεύσαντες. πᾶσι δὲ ἀνεπίφθονον τὴν προσήκουσαν σωτηρίαν ἐκπορίζεσθαι. καὶ νῦν τῆς ἡμετέρας ἀσφαλείας ἕνεκα καὶ ἐνθάδε παρόντες, ὁρῶμεν καὶ ὑμῖν ταὐτὰ ξυμφέροντα. ἀποφαίνομεν δὲ, ἐξ ὧν οἵδε τε διαβάλλουσι, καὶ ὑμεῖς μάλιστα ἐπὶ τὸ φοβερώτερον ὑπονοεῖτε· εἰδότες τοὺς περιδεῶς ὑποπτεύοντάς τι, λόγου μὲν ἡδονῇ τοπαραυτίκα τερπομένους, τῇ δ' ἐγχειρήσει ὕστερον τὰ ξυμφέροντα πράσσοντας. τήν τε γὰρ ἐκεῖ ἀρχὴν εἰρήκαμεν διὰ δέος ἔχειν, καὶ τὰ ἐνθάδε, διὰ τὸ αὐτὸ, ἥκειν μετὰ τῶν

tes incommoda nobis afferebant: ſimul etiam potentiam adverſus Peloponneſios nobis comparare cupientes. Nec alterius auſpicia ſequimur, quia vel ſoli barbarum profligavimus, vel pro libertate iſtorum potius, quam ceterorum omnium Graecorum, & noſtra ipſorum, pericula ſuſcepimus. Non eſt autem cuiquam invidendum, ſi ſalutem ſuam quaerat. Et nunc etiam cum noſtrae incolumitatis, praeſidiique parandi gratia, huc venerimus, haec ipſa, quae Syracuſani nobis invidioſe obiiciunt, vobis etiam conducere videmus. Demonſtramus autem, haec ipſa, quae nobis expediunt, vobis etiam expedire, tum ex iis, quae iſti criminantur, tum ex iis, quae vos ipſi potiſſimum cum vehementiore metu ſuſpicamini: quia compertum habemus, eos, qui cum vehementi metu aliquid ſuſpicantur, protinus quidem orationis illecebris capi; poſtea vero, cum ad rem gerendam veniunt, facere, quae ſibimet conducunt. Etenim & illic nos imperium propter metum obtinere diximus, & propter eundem metum nos huc iam veniſſe,

φίλων ἀσφαλῶς καταστησόμενοι, καὶ οὐ δουλωσόμενοι, μὴ παθεῖν δὲ μᾶλλον τοῦτο κωλύσοντες.

πδ'. Ὑπολάβῃ δὲ μηδεὶς ὡς οὐδὲν προσῆκον ὑμῶν κηδόμεθα, γνοὺς ὅτι σωζομένων ὑμῶν, καὶ διὰ τὸ μὴ ἀσθενεῖς ὑμᾶς ὄντας ἀντέχειν Συρακουσίοις, ἧσσον ἂν τούτων πεμψάντων τινὰ δύναμιν Πελοποννησίοις, ἡμεῖς βλαπτοίμεθα. καὶ ἐν τούτῳ προσήκετε ἤδη ἡμῖν τὰ μέγιστα· διόπερ καὶ τοὺς Λεοντίνους εὔλογον κατοικίζειν, μὴ ὑπηκόους, ὥσπερ τοὺς ξυγγενεῖς αὐτῶν τοὺς ἐν Εὐβοίᾳ, ἀλλ' ὡς δυνατωτάτους· ἵνα ἐκ τῆς σφετέρας ὅμοροι ὄντες, τοῖσδε ὑπὲρ ἡμῶν λυπηροὶ ὦσι. τὰ μὲν γὰρ ἐκεῖ, καὶ αὐτοὶ ἀρκοῦμεν πρὸς τοὺς πολεμίους, καὶ ὁ Χαλκιδεὺς, ὃν ἀλόγως ἡμᾶς φησι δουλωσαμένους, τοὺς ἐν-

ut res, quae hic ſunt, cum amicis tuto conſtituamus, non autem ut in ſervitutem vos redigamus, immo potius, ut impediamus, ne hoc vobis accidat.

LXXXIV. *Neque vero quiſpiam opinetur, nos de vobis, ut de viris nulla neceſſitudine nobiſcum coniunctis, eſſe ſollicitos; illud compertum habens, vobis ſalvis & vires habentibus ad reſiſtendum Syracuſanis, nos minoribus incommodis affectum iri, quia iſti Syracuſani minus copiarum ad Peloponneſios mittent. Et ob iſtam cauſam maxima neceſſitudine iam nobiſcum eſtis coniuncti. Quamobrem etiam aequum eſt, Leontinos a nobis in ſuas ſedes reſtitui, non ut imperio noſtro ſubiectos, quemadmodum ſunt ipſorum cognati, qui in Euboea habitant, ſed ut potentiſſimos; ut ex ſuo agro, quia ſunt finitimi Syracuſanis, ipſis pro nobis ſint infeſti. Quod enim attinet ad res illas, & ad bellum domeſticum, vel nos ipſi ſoli ſatis virium habemus ad hoſtes propulſandum, & Chalcidenſis, qui eſt in Euboea, (quem Syracuſanus iſte dicit a nobis praeter id, quod rationi conſentaneum videtur,*

θάδε ἐλευθερῶν, ξύμφορος ἡμῖν, ἀπαράσκευος ὢν, καὶ χρήματα μόνον φέρων· τὰ δὲ ἐνθάδε, καὶ Λεοντίνοι καὶ οἱ ἄλλοι φίλοι, ὀτιμάλιστα αὐτονομούμενοι.

πε΄. Ἀνδρὶ δὲ τυράννῳ, ἢ πόλει ἀρχὴν ἐχούσῃ, οὐδὲν ἄλογον ὅ, τι ξυμφέρον, οὐδ' οἰκεῖον, ὅ, τι μὴ πιστόν. πρὸς ἕκαστα δὲ δεῖ ἢ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι. καὶ ἡμᾶς τοῦτο ὠφελεῖ ἐνθάδε, οὐκ ἦν τοὺς φίλους κακώσωμεν, ἀλλ' ἦν οἱ ἐχθροὶ διὰ τὴν τῶν φίλων ῥώμην ἀδύνατοι ὦσιν. ἀπιστεῖν δὲ οὐ χρή. καὶ γὰρ τοὺς ἐκεῖ ξυμμάχους, ὡς ἕκαστοι χρήσιμοι, ἐξηγούμεθα, Χίους μὲν καὶ Μηθυμναίους, νεῶν παροχῇ αὐτονόμους· τοὺς δὲ πολλοὺς, χρημάτων βιαιότερον φορᾷ· ἄλλους δὲ καὶ πάνυ ἐλευθέρως ξυμμαχοῦντας, καίπερ νησιώτας

ſubactum eſſe, & tamen nos iam ſimulare, nos huc veniſſe, ut eos, qui hic ſunt, in libertatem aſſeramus) utilis eſt nobis, quod nullo bellico apparatu ſit inſtructus, & pecuniam tantum pendat: res vero iſtae, & Leontini, & ceteri amici, nobis utiles ſunt, in ſumma libertate degentes.

LXXXV. *Viro autem tyrannidem, aut civitati principatum obtinenti, nihil, quod utile ſit, a ratione eſt alienum, nihil etiam amicum, niſi fidum. Pro ſingulis autem rebus, quae geruntur, oportet vel inimicum, vel amicum opportune fieri. Atque hoc nobis hic eſt commodum, non ut amicos maleficiis afficiamus, ſed ut propter amicorum potentiam inimici reddantur infirmi. Non eſt autem de noſtra fide dubitandum. Nam ſociis, qui illinc ſunt, prout ſinguli nobis ſunt utiles, ita imperamus. Chiis quidem, & Methymnaeis, ut claſſem praebeant, at liberi vivant. pleriſque vero ſic imperamus, ut tributum ſeverius exigamus. Quin etiam aliis permittimus, ut ſumma cum libertate nobis in bello ferant auxilium, quamvis inſulas colant, & facile ſubigi poſſint, quia*

ἔντας καὶ εὐλήπτους, διότι ἐν χωρίοις ἐπικαίροις εἰσὶ περὶ τὴν Πελοπόννησον. ὥστε καὶ τἀνθάδε εἰκὸς πρὸς τὸ λυσιτελοῦν, καὶ ὃ λέγομεν ἐς Συρακουσίους δέος, καθίστασθαι. ἀρχῆς γὰρ ἐφίενται ὑμῶν, καὶ βούλονται μὲν ἐπὶ τῷ ἡμετέρῳ ξυστήσαντες ὑμᾶς ὑπόπτῳ, βίᾳ, ἢ κατ' ἐρημίαν, ἀπράκτων ἡμῶν ἀπελθόντων, αὐτοὶ ἄρξαι τῆς Σικελίας. ἀνάγκη δε, ἣν ξυστῆτε πρὸς αὐτούς. οὔτε γὰρ ἡμῖν ἔτι ἔσται ἰσχὺς τοσαύτη ἐς ἓν ξυστᾶσα εὐμεταχείριστος, οὔθ' οἵδ' ἀσθενεῖς ἂν ἡμῶν μὴ παρόντων πρὸς ὑμᾶς εἶεν.

ποτ'. Καὶ ὅτῳ ταῦτα μὴ δοκεῖ, αὐτὸ τὸ ἔργον ἐλέγχει. τὸ γὰρ πρότερον ἡμᾶς ἐπηγάγεσθε, οὐκ ἄλλου τινὰ πρεσείοντες Σόβον, ἢ, εἰ περιῳψόμεθα ὑμᾶς ὑπὸ Συρακουσίοις γενέσθαι, ὅτι καὶ αὐτοὶ κινδυνεύσομεν.

sunt in locis circa Peloponnesum opportunis. Quamobrem consentaneum est, res etiam, quae hic sunt, a nobis constitui, prout nobis conducit, idque propter metum, quem vobis significamus, quo Syracusanos metuimus. Nam imperium in vos affectant, & istis suspicionibus, quas contra nos spargunt, vos ad societatem secum ineundam sollicitare volunt, ut vel per vim, vel propter solitudinem vestram, si nos re infecta abierimus, ipsi Siciliae principatum obtineant. Necesse est autem, hoc ita contingere, quemadmodum dicimus, si cum ipsis vos coniungatis. Nam neque nos tantas copias in unum contrahere, atque huc facile transportare posthac poterimus; neque isti Syracusani nobis absentibus erunt infirmi contra vos.

LXXXVI. *Cui autem haec non videntur ita se habere, ut dicimus, illum ipsa res arguit. Prius enim nos arcessistis, nullum alium metum nobis incutientes, nisi quod, si per nostram negligentiam vos in Syracusanorum potestatem venire sineremus, nos*

καὶ νῦν οὐ δίκαιον, ὅπερ καὶ ἡμᾶς ἠξιοῦτε λόγῳ πείθειν, τῷ αὐτῷ ἀπιστεῖν· οὐδ' ὅτι δυνάμει μείζονι πρὸς τὴν τῶνδε ἰσχὺν πάρεσμεν, ὑποπτεύεσθαι, πολὺ δὲ μᾶλλον τοῖσδε ἀπιστεῖν. ἡμεῖς μέντοι οὔτε ἐμμεῖναι δυνατοὶ μὴ μεθ' ὑμῶν· εἴτε καὶ γενόμενοι κακοὶ κατεργασαίμεθα, ἀδύνατοι κατασχεῖν, διὰ μῆκός τε πλοῦ, καὶ ἀπορίαν φυλακῆς πόλεων μεγάλων, καὶ τῇ παρασκευῇ ἠπειρωτίδων. οἵδε δὲ οὐ στρατοπέδῳ, πόλει δὲ μείζονι τῆς ἡμετέρας παρουσίας ἐποικοῦντες ὑμῖν, ἀεί τε ἐπιβουλεύουσιν, καὶ ὅταν καιρὸν λάβωσιν ἑκάστου, οὐκ ἀνιᾶσιν. ἔδειξαν δὲ καὶ ἄλλα ἤδη, καὶ τὰ ἐς Λεοντίνους· καὶ νῦν τολμῶσιν ἐπὶ τοὺς ταῦτα κωλύοντας, καὶ ἀνέχοντας τὴν Σικελίαν μέχρι τοῦδε μὴ ὑπ' αὐτοὺς εἶναι, παρακαλεῖν ὑμᾶς ὡς ἀναισθήτους. πολὺ δὲ ἐπὶ ἀληθεστέραν γε σω-

quoque pericula ſubiremus. Quamobrem non eſt aequum, vos nunc eidem rationi fidem habere nolle, quam tamen nobis etiam oratione veſtra perſuadere volebatis; neque in ſuſpicionem venire, quod cum maioribus copiis adverſus iſtorum potentiam huc venerimus: immo potius aequum eſt, vos Syracuſanis iſtis nullam habere fidem. Nos enim ne conſiſtere quidem hic poſſumus, niſi vobiſcum. Quod ſi etiam perfidi effecti res iſtas ſubigeremus, eas tamen retinere non poſſemus, propter navigationis longitudinem, & difficultatem cuſtodiendi urbes magnas, & quae mediterraneis copiis indigent, & nituntur. At iſti non caſtris, ſed in urbe vobis finitima, habitantes, cuius populus eſt maior his noſtris copiis, quae iam hic adſunt, aſſidue vobis inſidiantur, & quamlibet occaſionem nacti, eam non omittent. Id quod cum erga alios, tum etiam erga Leontinos iam declararunt. Et tamen nunc audent adverſus eos, qui haec impediunt, & qui ad hunc uſque diem Siciliam ſuſtinent, ne in ipſorum poteſtatem redigatur, vos ut ſtupidos ac

τηρίαν ἡμεῖς ἀντιπαρακαλοῦμεν, δεόμενοι τὴν ὑπάρχουσαν ἀπ' ἀλλήλων ἀμφοτέροις μὴ προδιδόναι· νομίσαι τε τοῖσδε μὲν, καὶ ἄνευ ξυμμάχων, ἀεὶ ἐφ' ὑμᾶς ἑτοίμην διὰ τὸ πλῆθος εἶναι ὁδὸν, ὑμῖν δ' οὐ πολλάκις παρασχήσειν μετὰ τοσῇσδε ἐπικουρίας ἀμύνασθαι. ἢν εἰ τῷ ὑπόπτῳ ἢ ἄπρακτον ἐάσετε ἀπελθεῖν, ἢ καὶ σφαλεῖσαν, ἔτι βουλήσεσθε καὶ πολλοστημόριον αὐτῆς ἰδεῖν, ὅτε οὐδὲν ἔτι περανεῖ παραγενόμενον ὑμῖν.

πζ'. Ἀλλὰ μήτε ὑμεῖς, ὦ Καμαριναῖοι, ταῖς τῶνδε διαβολαῖς ἀναπείθεσθε, μήτε οἱ ἄλλοι. εἰρήκαμεν δ' ὑμῖν πᾶσαν τὴν ἀλήθειαν περὶ ὧν ὑποπτευόμεθα, καὶ ἔτι ἐν κεφαλαίοις ὑπομνήσαντες, ἀξιώσομεν πείθειν. φαμὲν γὰρ ἄρχειν μὲν τῶν ἐκεῖ, ἵνα μὴ ὑπακούωμεν ἄλλῳ, ἐλευθεροῦν δὲ τὰ ἐνθάδε, ὅπως μὴ ὑπ' αὐτῶν

amentes adhortari, & ad ſocietatem ſollicitare. Nos vero contra ad ſalutem longe certiorem vos adhortamur, orantes, ne ſalutem, utriſque noſtrûm ope mutua paratam, prodatis: ſed exiſtimetis, iſtis quidem, vel ſine ſociorum auxiliis, propter multitudinem, viam adverſus vos ſemper expeditam eſſe; vobis vero non ſemper futuram facultatem cum tot auxiliaribus copiis eos propulſandi. Quas ſi vel ob ſuſpicionem, vel etiam accepta clade, infecto negotio diſcedere ſinatis, optabilis profecto aliquando vel minimam ipſarum partem videre, cum eius ad vos adventus nihil amplius vobis prodeſſe poterit.

LXXXVII. *Sed neque vos, Camarinaei, criminationibus iſtorum ad nos deferendum adducamini, neque ceteri. Iam autem vobis declaravimus omnem veritatem, de quibus vobis ſumus ſuſpecti, & nunc etiam iiſdem in veſtram memoriam per capita revocatis, poſtulabimus ut flectamini. Dicimus enim, nos illis quidem, qui illic ſunt, imperare, ne alterius imperio pareamus; hos ve-*

βλαπτώμεθα· πολλὰ δ' ἀναγκάζεσθαι πράσσειν, διότι καὶ πολλὰ φυλασσόμεθα· ξύμμαχοι δὲ καὶ νῦν καὶ πρότερον τοῖς ἐνθάδε ὑμῶν ἀδικουμένοις οὐκ ἄκλητοι, παρακληθέντες δὲ, ἥκειν. καὶ ὑμεῖς μήθ' ὡς δικασταὶ γενόμενοι τῶν ἡμῖν ποιουμένων, μήθ' ὡς σωφρονισταὶ (ὃ χαλεπὸν ἤδη) ἀποτρέπειν πειρᾶσθε· καθόσον δέ τι ὑμῖν τῆς ἡμετέρας πολυπραγμοσύνης καὶ τρόπου τὸ αὐτὸ ξυμφέρει, τούτῳ ἀπολαβόντες χρήσασθε· καὶ νομίσατε μὴ πάντας ἐν ἴσῳ βλάπτειν αὐτὰ, πολὺ δὲ πλείους τῶν Ἑλλήνων καὶ ὠφελεῖν. ἐν παντὶ γὰρ πᾶς χωρίῳ, καὶ ᾧ μὴ ὑπάρχομεν, ὅ, τε οἰόμενος ἀδικήσεσθαι, καὶ ὁ ἐπιβουλεύων, διὰ τὸ ἑτοίμην ὑπεῖναι ἐλπίδα, τῷ μὲν, ἀντιτυχεῖν ἐπικουρίας ἀφ' ἡμῶν, τῷ δὲ, εἰ ἥξομεν, μὴ ἀδεεῖς εἶναι κινδυνεύειν· ἀμφότεροι ἀναγκάζονται, ὁ μὲν,

ro, qui hic ſunt, in libertatem aſſerere, ne ab ipſis laedamur. multa autem nos facere cogi, quia ſunt etiam multa, quae nobis ſunt cavenda. Socios vero & nunc & prius huc veniſſe, non noſtra ſponte, ſed arceſſitos, ut opem ferremus illis de vobis, qui hic iniuria afficiuntur. Quare vos neque tanquam facili iudices rerum, quae a nobis geruntur, neque tanquam cenſores, (quod facile iam eſt difficile) deterrere conemini: ſed quatenus aliqua noſtrae curioſitatis, ac ingenii pars, qua tot res gerendas aggredimur, vobis quoque prodeſſe poteſt, ea recepta utamini, & exiſtimetis, haec non omnibus aeque nocere, verum longe pluribus e Graecis prodeſſe. Quilibet enim in qualibet regione, vel in ea, in qua non imperamus, & is, qui ſibi ab iniuria timet, & is, qui alteri inſidiatur, quod in promtu ſit ſpes, illi quidem fore, ut auxilium a nobis viciſſim impetret, huic vero fore, ut, ſi venerimus, metu periculi non vacet, ambo coguntur, hic quidem, invitus ab iniuria alteri facienda ſibi temperare; ille vero, nemine nego-

ἄκων σωφρονεῖν, ὁ δ', ἀπραγμόνως σώζεσθαι. ταύτην οὖν τὴν κοινὴν τῷ τε δεομένῳ καὶ ὑμῖν νῦν παροῦσαν ἀσφάλειαν μὴ ἀπώσησθε, ἀλλ' ἐξισώσαντες τοῖς ἄλλοις, μεθ' ἡμῶν τοῖς Συρακουσίοις, ἀντὶ τοῦ ἀεὶ φυλάσσεσθαι αὐτοὺς, καὶ ἀντεπιβουλεῦσαί ποτε ἐκ τοῦ ὁμοίου μεταλάβετε.

πή. Τοιαῦτα μὲν ὁ Εὔφημος εἶπεν. οἱ δὲ Καμαριναῖοι ἐπεπόνθεσαν τοιόνδε· τοῖς μὲν Ἀθηναίοις εὖνοι ἦσαν, πλὴν καθόσον εἰ τὴν Σικελίαν ὤοντο αὐτοὺς δουλώσεσθαι, τοῖς δὲ Συρακουσίοις ἀεὶ κατὰ τὸ ὅμορον διάφοροι. δεδιότες δ' οὐχ ἧσσον τοὺς Συρακουσίους ἐγγὺς ὄντας, μὴ καὶ ἄνευ σφῶν περιγένωνται, τότε πρῶτον αὐτοῖς τοὺς ὀλίγους ἱππέας ἔπεμψαν· καὶ τὸ λοιπὸν ἐδόκει αὐτοῖς ὑπουργεῖν μὲν τοῖς Συρακουσίοις μᾶλλον ἔργῳ, ὡς ἂν δύνωνται μετριώτατα· ἐν δὲ τῷ παρόντι, ἵνα μηδὲ

tium ipſi faceſſente, ſalutem conſequi. Hoc igitur ſalutis praeſidium, quod omnibus, qui eo indigent, eſt commune, & quod vobis nunc praeſto eſt, ne reiiciatis; ſed idem facientes, quod ceteri mortales facere ſolent, nobiſcum iuncti, Syracuſanis, pro eo, quod ipſorum inſidias ſemper cavetis, vos etiam nunc tandem eodem modo, quo illi vobis, inſidias tendere viciſſim incipiatis.

LXXXVIII. Atque Euphemus quidem haec dixit. Camarinaei vero ſic animis erant affecti. Athenienſibus quidem erant benevoli, niſi quatenus eos ad ſubigendam Siciliam veniſſe ſuſpicabantur: Syracuſanis vero, propter agri finitimi controverſias, ſemper erant inimici. Cum tamen Syracuſanos, qui vicini erant, non minus formidarent, ne vel ſine ſuis auxiliis ſuperiores evaderent, & ante paucos illos equites ipſis miſerant: & in poſterum Syracuſanis quidem potius re ipſa, quam tamen parciſſime

τοῖς Ἀθηναίοις ἔλασσον δοκῶσιν εἶναι, ἐπειδὴ καὶ ἐπικρατέστεροι τῇ μάχῃ ἐγένοντο, λόγῳ ἀποκρίνασθαι ἴσα ἀμφοτέροις. καὶ οὕτω βουλευσάμενοι ἀπεκρίναντο, ἐπειδὴ τυγχάνει ἀμφοτέροις οὖσι ξυμμάχοις σφῶν πρὸς ἀλλήλους πόλεμος ὤν, εὔορκον δοκεῖν εἶναι σφίσιν ἐν τῷ παρόντι μηδετέροις ἀμύνειν. καὶ οἱ πρέσβεις ἑκατέρων ἀπῆλθον. καὶ οἱ μὲν Συρακούσιοι τὰ καθ' ἑαυτοὺς ἐξηρτύοντο ἐς τὸν πόλεμον· οἱ δ'' Αθηναῖοι, ἐν τῇ Νάξῳ ἑστρατοπεδευμένοι, τὰ πρὸς τοὺς Σικελοὺς ἔπρασσον, ὅπως αὐτοῖς ὡς πλεῖστοι προσχωρήσωνται. καὶ οἱ μὲν πρὸς τὰ πεδία μᾶλλον τῶν Σικελῶν ὑπήκοοι ὄντες τῶν Συρακουσίων, οἱ πολλοὶ ἀφειστήκεσαν· τῶν δὲ τὴν μεσόγαιαν ἐχόντων αὐτόνομοι οὖσαι, καὶ πρότερον ἀεὶ οἰκήσεις εὐθὺς, πλὴν ὀλίγοι, μετὰ τῶν Ἀθηναίων ἦσαν· καὶ

possent, operam suam navare detreverunt. In praesentia vero, ne Athenienſibus minus benevoli esse viderentur, praesertim quod ex proelio victores discessissent, verbis responsum par utrisque dare statuerunt. Cum autem sic consultassent, respondérunt: Quoniam bellum gerebatur inter illos, qui utrique sibi erant socii, videri sibi aequum esse, in praesentia neutris opem ferre. Atque utrorumque legati sic abierunt. Et Syracusani quidem res suas ad bellum apparabant. Athenienses vero, qui apud Naxum stativa habebant, id apud Siculos agebant, ut quam plurimi ad se transirent. Et Siculorum quidem, illorum praecipue, qui campestria loca incolebant, & qui Syracusanorum imperio parebant, plerique ab Athenienſium societate recesserunt. Illorum vero, qui loca mediterranea tenebant, civitates, quae sui iuris, & quae prius semper libera erant domicilia, exceptis paucis populis, sese confestim Athe-

σῖτόν τε κατεκόμιζον τῷ στρατεύματι, καὶ εἰσὶν οἳ καὶ χρήματα. ἐπὶ δὲ τοὺς μὴ προσχωροῦντας οἱ Ἀθηναῖοι στρατεύοντες, τοὺς μὲν προσηνάγκαζον, τοὺς δὲ, καὶ ὑπὸ τῶν Συρακουσίων φρουρούς τε πεμπόντων καὶ βοηθούντων ἀπεκώλυον· τόν τε χειμῶνα μεθορμισάμενοι ἐκ τῆς Νάξου ἐς τὴν Κατάνην, καὶ τὸ στρατόπεδον ὃ κατεκαύθη ὑπὸ τῶν Συρακουσίων, αὖθις ἀνορθώσαντες, διεχείμαζον. καὶ ἔπεμψαν μὲν ἐς Καρχηδόνα τριήρη περὶ φιλίας, εἰ δύναιντό τι ὠφελεῖσθαι· ἔπεμψαν δὲ καὶ ἐς Τυρσηνίαν, ἔστιν ὧν πόλεων ἐπαγγελλομένων καὶ αὐτῶν ξυμπολεμεῖν. περιήγγελον δὲ καὶ τοῖς Σικελοῖς, καὶ ἐς τὴν Ἔγεσταν πέμψαντες ἐκέλευον ἵππους σφίσιν ὡσπλείστους πέμπειν. καὶ τἆλλα ἐς τὸν περιτειχισμὸν, πλινθία καὶ σίδηρον, ἡτοίμαζον, καὶ ὅσα ἔδει, ὡς ἅμα τῷ ἦρι ἐξό-

nienſibus adiunxerunt, & commeatum ad illorum exercitum comportarunt. quidam & pecunias. Athenienſes vero bellum illis inferentes, qui ſuam ſocietatem ſequi recuſabant, partim quidem compulerunt, partim vero a Syracuſanis praeſidia mittentibus & opem ferentibus arcebant. Iidem per hiemem Naxo Catanam ſtatione mutata ſe contulerunt, & caſtra, quae a Syracuſanis incenſa fuerant, rurſus excitarunt, & illic hiemarunt. Triremem autem amicitiae conciliandae cauſa Carthaginem miſerunt, ſi quod auxilium illinc impetrare poſſent. Miſerunt etiam in Hetruriam, quia nonnullae civitates ultro ſe belli ſocias fore ſpoponderant. Nuntios etiam ad Siculos circummiſerunt, miſerunt & Egeſtam, ac imperarunt, ut ſibi quam plurimos equos mitterent. Et lateres, & ferrum, & cetera ad urbis circumvallationem neceſſaria, praeparaverunt, ut vere ſtatim ineunte bellum inituri. Syracuſanorum vero le-

μενοι τοῦ πολέμου. οἱ δ' ἐς τὴν Κόρινθον καὶ τὴν Λακεδαίμονα τῶν Συρακουσίων ἀποσταλέντες πρέσβεις, τούς τε Ἰταλιώτας ἅμα παραπλέοντες ἐπειρῶντο πείθειν μὴ περιορᾶν τὰ γινόμενα ὑπὸ τῶν Ἀθηναίων, ὡς καὶ ἐκείνοις ὁμοίως ἐπιβουλευόμενα· καὶ ἐπειδὴ ἐν τῇ Κορίνθῳ ἐγένοντο, λόγους ἐποιοῦντο, ἀξιοῦντες σφίσι κατὰ τὸ ξυγγενὲς βοηθεῖν. καὶ οἱ Κορίνθιοι εὐθὺς ψηφισάμενοι αὐτοὶ πρῶτοι ὥστε πάσῃ προθυμίᾳ ἀμύνειν, καὶ ἐς τὴν Λακεδαίμονα ξυναπέστελλον αὐτοῖς πρέσβεις, ὅπως καὶ ἐκείνους ξυναναπείθοιεν τόν τε αὐτοῦ πόλεμον σαφέστερον ποιεῖσθαι πρὸς τοὺς Ἀθηναίους, καὶ ἐς τὴν Σικελίαν ὠφέλειαν τινὰ πέμπειν. καὶ οἵ τε ἐκ τῆς Κορίνθου πρέσβεις παρῆσαν ἐς τὴν Λακεδαίμονα, καὶ Ἀλκιβιάδης, μετὰ τῶν ξυμφυγάδων περαιωθεὶς τότ' εὐθὺς ἐπὶ πλοίου φορτηγικοῦ ἐκ τῆς Θουρίας ἐς Κυλλήνην τῆς Ἠλείας πρῶτον, ἔπειτα ὕστερον ἐς τὴν Λακεδαίμονα, αὐ-

gari, qui Corinthum & Lacedaemonem miſſi fuerant, dum oram Italiae praeterveherentur, Italis perſuadere ſunt conati, ne negligerent ea, quae ab Athenienſibus fierent, quod & in illorum perniciem haec ab ipſis pariter ſtruerentur. Cum autem Corinthum perveniſſent, verba fecerunt, poſtulantes, ut pro cognationis iure ſibi auxilium ferrent. Corinthii vero confeſtim & ipſi primi decreverunt, omni ſtudio ſuccurrendum, & cum ipſis legatos Lacedaemonem miſerunt, ut illos quoque & ad bellum apertius illic gerendum adverſus Athenienſes, & ad aliquod auxilium in Siciliam mittendum inducerent. Et cum Corinthii legati Lacedaemonem venerunt, tum etiam Alcibiades cum exſilii ſociis tunc ſtatim oneraria navi advectus primum ex agro Thurio ad Cyllenen agri Elei, mox deinde Lacedaemonem, ab

τῶν τῶν Λακεδαιμονίων μεταπεμψάντων, ὑπόσπονδος ἐλθών. ἐφοβεῖτο γὰρ αὐτοὺς διὰ τὴν περὶ τῶν Μαντινικῶν πρᾶξιν. καὶ ξυνέβη ἐν τῇ ἐκκλησίᾳ τῶν Λακεδαιμονίων τούς τε Κορινθίους καὶ τοὺς Συρακουσίους τὰ αὐτὰ καὶ τὸν Ἀλκιβιάδην δεομένους πείθειν τοὺς Λακεδαιμονίους. καὶ διανοουμένων τῶν τε Ἐφόρων καὶ τῶν ἐν τέλει ὄντων πρέσβεις πέμπειν ἐς Συρακούσας, κωλύσοντας μὴ ξυμβαίνειν Ἀθηναίοις, βοηθεῖν δὲ οὐ προθύμων ὄντων, παρελθὼν ὁ Ἀλκιβιάδης παρώξυνέ τε τοὺς Λακεδαιμονίους καὶ ἐξώρμησε, λέγων τοιάδε.

πϑ'. ΑΝΑΓΚΑΙΟΝ περὶ τῆς ἐμῆς διαβολῆς πρῶτον ἐς ὑμᾶς εἰπεῖν, ἵνα μὴ χεῖρον τὰ κοινὰ τῷ ὑπόπτῳ μου ἀκροάσησθε. τῶν δ' ἡμῶν προγόνων τὴν προξενίαν ὑμῶν κατά τι ἔγκλημα ἀπειπόντων, αὐτὸς ἐγὼ πάλιν ἀναλαμβάνων, ἐθεράπευον ὑμᾶς ἄλλα τε, καὶ περὶ τὴν

ipsis Lacedaemoniis accitus, data publica fide profectus. Illos enim metuebat propter res ad Mantineam gestas. Contigit autem, ut in Lacedaemoniorum concione, & Corinthii & Syracusani & Alcibiades eadem rogantes Lacedaemoniis persuaderent. Cum autem Ephori & Magistratus in animo haberent legatos mittere Syracusas, ut impedirent, ne cum Athenienſibus paciscerentur, nec tamen ad opem ferendam animo essent promto, tunc Alcibiades in medium progressus Lacedaemonios huiusmodi verbis exacuit & excitavit.

LXXXIX. *Necesse est, me de mea criminatione apud vos primum verba facere, ne propter suspiciones de me conceptas, publicam causam alieniore animo audiatis. Quamvis enim mei maiores publicum vestrae civitatis hospitium ob quoddam crimen vobis renuntiassent, ego tamen ipse rursus hoc instaurans, vos*

ἐκ Πύλου ξυμφοράν. καὶ διατελοῦντός μου προθύμου, ὑμεῖς πρὸς Ἀθηναίους καταλλασσόμενοι, τοῖς μὲν ἐμοῖς ἐχθροῖς δύναμιν δι' ἐκείνων πράξαντες, ἐμοὶ δὲ ἀτιμίαν περιέθετε. καὶ διὰ ταῦτα δικαίως ὑπ' ἐμοῦ, πρός τε τὰ Μαντινέων καὶ Ἀργείων τραπομένου, καὶ ὅσα ἄλλα ἠναντιούμην ὑμῖν, ἐβλάπτεσθε· καὶ νῦν εἴ τις καὶ τότε ἐν τῷ πάσχειν οὐκ εἰκότως ὠργίζετό μοι, μετὰ τοῦ ἀληθοῦς σκοπῶν ἀναπειθέσθω. ἢ εἴ τις, διότι καὶ τῷ δήμῳ προσεκείμην μᾶλλον, χείρω με ἐνόμισε, μηδ' οὕτως ἡγήσηται ὀρθῶς ἄχθεσθαι. τοῖς γὰρ τυράννοις ἀεί ποτε διάφοροί ἐσμεν. πᾶν δὲ τὸ ἐναντιούμενον τῷ δυναστεύοντι, δῆμος ὠνόμασται· καὶ ἀπ' ἐκείνου ξυμπαρέμεινεν ἡ προστασία ἡμῖν τοῦ πλήθους. ἅμα δὲ καὶ τῆς πόλεως δημοκρατουμένης, τὰ πολλὰ ἀνάγκη ἦν τοῖς παροῦσιν

colebam cum aliis, tum vero in clade, quam ad Pylum accepiſtis. & cum in hoc ego ſtudio perſeverarem, vos de compoſitione cum Athenienſibus agentes, inimicis quidem meis, re per ipſos tentata, potentiam, mihi vero, ignominiam conciliaſtis. Et propterea, cum in eo, quod ad Mantineorum & Argivorum partes tranſierim, tum etiam in ceteris rebus, in quibus ego vobis ſum adverſatus, a me iure laeſi fuiſtis. Quare ſi quis tunc, dum damnum acciperet, immerito mihi iraſcebatur, nunc rem cum veritate examinans, ſententiam mutet. Aut ſi quis, quod factionem popularem potius, quam paucorum factionem ſectarer, me propterea deteriorem eſſe putabat, ne ſic quidem iſte ſe recte mihi tunc infenſum fuiſſe ducat. Semper enim tyrannis fuimus infeſti. Quidquid enim tyrannis adverſatur, id populus nominatur. Hinc autem factum eſt, ut popularis imperii tuendi ſtudium in animo noſtro permanſerit. Praeterea quod noſtra civitas imperio populari regeretur, plerumque neceſſe nobis fuit res praeſentes ſequi,

ἔπεσθαι. τῆς δὲ ὑπαρχούσης ἀκολασίας ἐπειρώμεθα μετριώτεροι ἐς τὰ πολιτικὰ εἶναι. ἄλλοι δ' ἦσαν καὶ ἐπὶ τῶν πάλαι καὶ νῦν, οἱ ἐπὶ τὰ πονηρότερα ἐξῆγον τὸν ὄχλον· οἵπερ καὶ ἐμὲ ἐξήλασαν. ἡμεῖς δὲ τοῦ ξύμπαντος προέστημεν, δικαιοῦντες, ἐν ᾧ σχήματι μεγίστη ἡ πόλις ἐτύγχανε καὶ ἐλευθερωτάτη οὖσα, καὶ ὅπερ ἐδέξατό τις, τοῦτο ξυνδιασώζειν. ἐπεὶ δημοκρατίαν γε καὶ ἐγιγνώσκομεν οἱ Φρονοῦντές τι, καὶ αὐτὸς οὐδενὸς ἂν χεῖρον, ὅσον καὶ λοιδορήσαιμι· ἀλλὰ περὶ ὁμολογουμένης ἀγνοίας οὐδὲν ἂν καινὸν λέγοιτο· καὶ τὸ μεθιστάναι αὐτὴν, οὐκ ἐδόκει ἡμῖν ἀσφαλὲς εἶναι, ὑμῶν πολεμίων προσκαθημένων.

στ'. Καὶ τὰ μὲν ἐς τὰς ἐμὰς διαβολὰς, τοιαῦτα ξυνέβη. περὶ δὲ ὧν ὑμῖν τε βουλευτέον, καὶ ἐμοὶ, εἴτι

Sed tamen in administranda republica conati sumus nos moderatius gerere, quam popularis intemperantiae consuetudo ferat. Nam & maiorum & nostra memoria alii erant, qui plebem ad deteriora concitabant; qui me quoque eiecerunt. Nos vero reipublicae praefuimus, aequum esse censentes, in qua forma civitas maxima atque liberrima fuisset, & quam quis accepisset, hanc etiam ab eo conservari. Nam cum nos omnes, qui aliqua prudentia praediti eramus, populärem statum cognoscebamus, & quanta sit eius levitas, ac improbitas, probe sciebamus, tum vero ipse non deterius, quam ullus alius hoc noveram: quo etiam graviorem iniuriam ab eo accepi, propter quam ipsi liberius convicium dicere, ipsumque iure obiurgare possem. Sed de minime dubia status popularis amentia nihil novi dici posset. Hunc autem immutare, non videbatur nobis esse tutum, quod vos hostes quodammodo obsideretis.

XC. *Quod igitur attinet ad meas criminationes, haec acciderant. Iam vero res, de quibus & vobis est consultandum, &*

πλέον οἶδα, εἰσηγητέον, μάθετε ἤδη. ἐπλεύσαμεν ἐς Σικελίαν, πρῶτον μὲν, εἰ δυναίμεθα, Σικελιώτας καταστρεψόμενοι, μετὰ δ' ἐκείνους αὖθις καὶ Ἰταλιώτας· ἔπειτα καὶ τῆς Καρχηδονίων ἀρχῆς καὶ αὐτῶν ἀποπειράσοντες. εἰ δὲ προχωρήσειε ταῦτα, ἢ πάντα ἢ καὶ τὰ πλείω, ἤδη τῇ Πελοποννήσῳ ἐμέλλομεν ἐπιχειρήσειν, κομίσαντες ξύμπασαν μὲν τὴν ἐκεῖθεν προσγενομένην δύναμιν τῶν Ἑλλήνων, πολλοὺς δὲ βαρβάρους μισθωσάμενοι, καὶ Ἴβηρας, καὶ ἄλλους τῶν ἐκεῖ ὁμολογουμένως ἰὸν βαρβάρων μαχιμωτάτους· τριήρεις τε πρὸς ταῖς ἡμετέραις πολλὰς ναυπηγησάμενοι (ἐχούσης τῆς Ἰταλίας ξύλα ἄφθονα) οἷς τὴν Πελοπόννησον πέριξ πολιορκοῦντες, καὶ τῷ πεζῷ ἅμα ἐκ γῆς ἀφορμαῖς, τῶν πόλεων τὰς μὲν βίᾳ λαβόντες, τὰς δ' ἐντειχισάμενοι, ῥᾳδίως ἠλπίζομεν καταπολεμήσειν, καὶ μετὰ ταῦτα καὶ τοῦ

mihi (ſi quid melius, quam vos, novi) agendum, cognoſcite. In Siciliam eo animo traiecimus, primum quidem, ut Sicilienſes, ſi poſſemus, in noſtram poteſtatem redigeremus, mox vero poſt illos, & Italos. Deinde ut etiam illos, qui Carthaginienſium imperio parent, atque adeo ipſos Carthaginienſes ut tentaremus. Quod ſi haec nobis ſucceſſiſſent, aut omnia, aut etiam pleraque, tunc vero Peloponneſum aggredi ſtatueramus; univerſis Graecorum copiis, quas nobis illinc adiunxiſſemus, adductis, multiſque barbaris mercede conductis, & Iberis, & aliis, qui omnium barbarorum in illis regionibus habitantium ſine controverſia bellicoſiſſimi nunc habentur: aedificatis etiam permultis triremibus, praeter noſtras, (quod Italia magnam materiae copiam habeat) quibus Peloponneſum circumcirca obſidentes, & peditatu pariter a terra invadentes, his ſubſidiis, urbium aliis quidem per vim captis, aliis vero circumvallatis, ſperabamus fore, ut eam facile debellare-

ξύμπαντος Ἑλληνικοῦ ἄρξειν. χρήματα δὲ καὶ σῖτον, ὥστε εὐπορώτερον γίγνεσθαί τινα αὐτῶν, αὐτὰ τὰ προσγενόμενα ἐκεῖθεν χωρία ἔμελλε διαρκῆ ἄνευ τῆς ἐνθένδε προσόδου παρέξειν.

στά. Τοιαῦτα μὲν περὶ τοῦ νῦν οἰχομένου στόλου παρὰ τοῦ τὰ ἀκριβέστατα εἰδότος, ὡς διενοήθημεν, ἀκηκόατε· καὶ ὅσοι ὑπόλοιποι στρατηγοί, ἣν δύνωνται, ἐμοίως αὐτὰ πράξουσιν. ὡς δὲ εἰ μὴ βοηθήσετε οὐ περιέσται τάχει, μάθετε ἤδη. Σικελιῶται γὰρ ἀπειρότεροι μέν εἰσιν, ὅμως δ' ἂν ξυστραφέντες ἀθρόοι, καὶ νῦν ἔτι περιγένοιντο. Συρακούσιοι δὲ μόνοι, μάχῃ τε ἤδη παυδημεὶ ἡσσημένοι, καὶ ναυσὶν ἅμα κατειργόμενοι, ἀδύνατοι ἔσονται τῇ νῦν Ἀθηναίων ἐκεῖ παρασκευῇ ἀντισχεῖν. καὶ εἰ αὕτη ἡ πόλις ληφθήσεται, ἔχεται καὶ ἡ

mus, poſtea vero totius etiam Graeciae imperio potiemur. Pecuniam vero & commeatum, ut res illas, quas animo conceperamus, commodius perageremus, illa ipſa regionum illarum oppida nobis adiuncta, praeter huius regionis proventus, quibus ſine negotio frui potuiſſemus, nobis erunt abunde ſuppeditatura.

XCI. *Quae igitur fuerint noſtra conſilia de claſſe nunc in Siciliam profecta, ex homine, qui res iſtas exploratiſſimas habet, audiſtis. Et duces, quotquot illic ſunt reliqui, aeque ac ſi ego quoque illic eſſem, haec, ſi poſſint, peragent. Quod autem & res illae ſalvae eſſe nequeant, niſi ſuccurratis, iam diſcite. Sicilienſes enim, ſunt illi quidem impetiti: ſed tamen, ſi frequentes in unum coëant, nunc etiam ſuperſtites eſſe poterunt. Syracuſani vero ſoli, quod & proelio, ad quod maximas copias ex omni totius populi ordine ac aetate collectas duxerant, ab Athenienſibus ſuperati fuerint, & claſſe ſimul ab iiſdem coërceantur, Athenienſium apparatui, qui nunc illic eſt, reſiſtere non poterunt. Quod*

πᾶσα Σικελία, καὶ εὐθὺς καὶ Ἰταλία. καὶ ὃν ἄρτι κίνδυνον ἐκεῖθεν προεῖπον, οὐκ ἂν διὰ μακροῦ ὑμῖν ἐπιπέσοι. ὥστε μὴ περὶ τῆς Σικελίας τὶς οἰέσθω μόνον βουλεύειν, ἀλλὰ καὶ περὶ τῆς Πελοποννήσου, εἰ μὴ ποιήσετε τάδε ἐν τάχει. στρατιὰν τε ἐπὶ νεῶν πέμψετε τοιαύτην ἐκεῖσε, οἵτινες αὐτερέται κομισθέντες, καὶ ὁπλιτεύσουσιν εὐθύς· καὶ (ὃ τῆς στρατιᾶς ἔτι χρησιμώτερον εἶναι νομίζω) ἄνδρα Σπαρτιάτην ἄρχοντα, ὡς ἂν τούς τε παρόντας ξυντάξῃ, καὶ τοὺς μὴ ἐθέλοντας προσαναγκάσῃ. οὕτω γὰρ οἵτε ὑπάρχοντες ὑμῖν φίλοι θαρσήσουσι μᾶλλον, καὶ οἱ ἐνδοιάζοντες, ἀδεέστερον προσίασι. καὶ τὰ ἐνθάδε χρὴ ἅμα φανερώτερον ἐκπολεμεῖν, ἵνα Συρακούσιοί τε, νομίζοντες ὑμᾶς ἐπιμελεῖσθαι, μᾶλλον ἀντέχωσι, καὶ Ἀθηναῖοι τοῖς ἑαυτῶν ἧσσον ἄλλην ἐπικουρίαν πέμπωσι. τειχίζειν δὲ χρὴ Δεκέλειαν τῆς Ἀττικῆς,

ſi haec urbs capiatur, reliqua etiam Sicilia, mox & Italia occupabitur. Atque periculum, quod illinc vobis impendere modo praedixi, non multo poſt in vos irruet. Quare nemo de Sicilia tantum, ſed etiam de Peloponneſo ſe conſultare putet, niſi haec celeriter feceritis. Eum autem exercitum in naves impoſitum illuc mittetis, qui collectus erit ex iis, qui eo delati, iidem & remiges & mox milites erunt: & (quod ipſo exercitu longe utilius eſſe puto) virum Spartanum imperatorem, ut & illos, qui adſunt, in officio contineat, & illos, qui adeſſe recuſant, ad officium compellat. Sic enim & qui vobis amici ſunt, maiorem habebunt fiduciam, & qui animo ſunt dubio, minus timide ad vos accedent. Et quod attinet ad huius regionis loca, oportet vos ſimul hinc Athenienſibus apertius bellum inferre, ut & Syracuſani, exiſtimantes vos de ſua ſalute ſollicitos eſſe, magis & alacrius Athenienſibus reſiſtant, & Athenienſes aliud auxilium ſuis in Sici-

ἕτερ᾽ Ἀθηναίοις μάλιστα ἀεὶ φοβοῦνται, καὶ μόνου αὐτοῦ νομίζουσι τῶν ἐν τῷ πολέμῳ οὐ διαπεπειρᾶσθαι. βεβαιότατα δ᾽ ἄν τις οὕτω τοὺς πολεμίους βλάπτοι, εἰ ἃ μάλιστα δεδιότας αὐτοὺς αἰσθάνοιτο, ταῦτα σαφῶς πυνθανόμενος ἐπιφέροι. εἰκὸς γὰρ αὐτοὺς ἀκριβέστατα ἑκάστους τὰ σφέτερα αὐτῶν δεινὰ ἐπισταμένους φοβεῖσθαι. ἃ δ᾽ ἐν τῇ ἐπιτειχίσει αὐτοὶ ὠφελούμενοι τοὺς ἐναντίους κωλύσετε, πολλὰ παρεὶς, τὰ μέγιστα κεφαλαιώσω. οἷς τε γὰρ ἡ χώρα κατεσκεύασται, τὰ πολλὰ πρὸς ὑμᾶς, τὰ μὲν ληφθέντα, τὰ δ᾽ αὐτόματα ἥξει. καὶ τὰς τοῦ Λαυρείου τῶν ἀργυρείων μετάλλων προσόδους, καὶ ὅσα ἀπὸ γῆς καὶ δικαστηρίων νῦν ὠφελοῦνται, εὐθὺς ἀποστερήσονται. μάλιστα δὲ τῆς ἀπὸ τῶν ξυμμάχων προσόδου ἧσσον διαφορουμένης, οἱ τὰ

liam minus mittant. Deceleam autem, quae eſt in Attica, oportet munire, quod Athenienſes perpetuo praecipue formidant, & hoc ſolum incommodum in bello ſe non expertos eſſe putant. Et ſane quis ita certiſſimis damnis hoſtes afficiat, ſi quae maxime ipſos formidare ſenſerit, haec ipſe plane comperta habens, ipſis inferat. Veriſimile enim eſt, ſingulos ipſorum mala, unde periculum aliquod impendeat, optime cognoſcere, ac formidare. Commoda autem, quae ex hac munitione exſtructa vos ipſi percipietis, & quibus adverſarios frui prohibebitis, ut multa omittam, ea, quae maxima ſunt, ſummatim dicam. Nam & ea, quibus ipſorum ager eſt inſtructus, pleraque, partim quidem a vobis per vim capta, partim vero ſua ſponte in veſtram poteſtatem venient. Et proventibus, quos percipiunt ex argenti ſcaturis, quae ſunt in Laurio monte, & commodis, quaecunque nunc ex agro iudiciiſque capiunt, ſtatim privabuntur. praecipue vero graviſſimum detrimen-

παρ' ὑμῶν νομίσαντες ἤδη κατὰ κράτος πολεμεῖσθαι, ὀλιγωρήσουσι.

στβ'. Γίγνεσθαι δέ τι αὐτῶν καὶ ἐν τάχει καὶ προθυμότερον, ἐν ὑμῖν ἐστιν, ὦ Λακεδαιμόνιοι. ἐπεὶ ὅς γε δυνατὰ, καὶ οὐχ ἁμαρτήσεσθαι οἶμαι γνώμης, πάνυ θαρσῶ· καὶ χείρων οὐδενὶ ἀξιῶ δοκεῖν ὑμῶν εἶναι, εἰ τῇ ἐμαυτοῦ μετὰ τῶν πολεμιωτάτων, Φιλόπολις ποτὲ δοκῶν εἶναι, νῦν ἐγκρατῶς ἐπέρχομαι· οὐδὲ ὑποπτεύεσθαί μου εἰς τὴν Φυγαδικὴν προθυμίαν τὸν λόγον. Φυγάς τε γάρ εἰμι τῆς τῶν ἐξελασάντων πονηρίας, καὶ οὐ τῆς ὑμετέρας, ἣν πείθησθέ μοι, ὠφελείας· καὶ πολεμιώτεροι οὐχ οἱ τοὺς πολεμίους που βλάψαντες ὑμεῖς, ἢ οἱ τοὺς Φίλους ἀναγκάσαντες πολεμίους γενέσθαι. τό, τε Φιλόπολι, οὐκ ἐν ᾧ ἀδικοῦμαι ἔχω, ἀλλ' ἐν ᾧ ἀσφαλῶς

tum capient, ſi a ſociis vectigalia non afferantur, qui, exiſtimantes bellum a vobis acriter iam adminiſtrari, ipſos negligent.

XCII. *Quarum rerum ut aliquid mature & impigre fiat, in vobis eſt ſitum, Lacedaemonii. Nam haec fieri poſſe (exiſtimo autem fore, ut opinione minime fallar) prorſus confido. Sed a vobis peto, ne cuiquam veſtrûm deterior eſſe videar, ſi cum infeſtiſſimis meae patriae hoſtibus, ego, qui quondam patriae amans habitus ſum, iam contra meam ipſius patriam acerrime tendam: neve oratio mea veniat in ſuſpicionem ſtudii, quo exſules uti ſolent, ut hac ſua animorum alacritate, quam oratione demonſtrant, eorum, apud quos verba faciunt, benevolentiam ſibi concilient. Exſul enim ſum propter improbitatem illorum, qui urbe me expulerunt: ſed non a veſtra (ſi mihi crediderit is) utilitate exſulo. Neque vero vos, qui nobis hoſtibus aliquando nocuiſtis, mihi pro hoſtibus magis eſtis habendi, quam qui amicos coëgerunt hoſtes fieri. Et amorem in patriam retineo, non cum a meis*

ἐπολιτεύθην· οὐδ' ἐπὶ πατρίδα οὖσαν ἔτι ἡγοῦμαι ἰέναι, πολὺ δὲ μᾶλλον τὴν οὐκ οὖσαν ἀνακτᾶσθαι. καὶ φιλόπολις οὕτος ὀρθῶς, οὐχ ὃς ἂν τὴν ἑαυτοῦ ἀδίκως ἀπολέσας μὴ ἐπίῃ, ἀλλ' ὃς ἂν ἐκ παντὸς τρόπου, διὰ τὸ ἐπιθυμεῖν, πειραθῇ αὐτὴν ἀναλαβεῖν. οὕτως ἔμιγε ἀξιῶ ὑμᾶς καὶ ἐς κίνδυνον καὶ ἐς ταλαιπωρίαν πᾶσαν ἀδεῶς χρῆσθαι, ὦ Λακεδαιμόνιοι· γνόντας τοῦτον δὴ τὸν ὑφ' ἁπάντων προβαλλόμενον λόγον, ὡς εἰ πολέμιός γε ὢν σφόδρα ἔβλαπτον, καὶ ἂν φίλος ὢν ἱκανῶς ὠφελοίην· ὅσῳ τὰ μὲν Ἀθηναίων οἶδα, τὰ δ' ὑμέτερα εἴκαζον. καὶ αὐτοὺς νῦν νεμίσαντας περὶ μεγίστων δὴ τῶν διαφερόντων βουλεύεσθαι, μὴ ἀποκνεῖν τὴν ἐς τὴν Σικελίαν τε καὶ ἐς τὴν Ἀττικὴν στρατείαν· ἵνα τά τε ἐκεῖ βραχεῖ μορίῳ ξυμπαραγενόμενοι μεγάλα σώσητε, καὶ Ἀθηναίων τήν τε οὖσαν καὶ τὴν μέλλουσαν δύναμιν καθέλη-

civibus iniuriam accipio, ſed cum in republica tuto vivebam. Neque exiſtimo, me bellum inferre ei, quae adhuc patria mihi ſit; immo vero potius eam, quae mihi nulla eſt, recuperare. Atque is vere eſt patriae amans, non qui ſuam, quam iniuſte amiſit, non invadit; ſed qui eam, propter illius deſiderium, quavis ratione recuperare conatur. Quamobrem, Lacedaemonii, a vobis peto, ut opera mea & in periculis & in omnibus laboribus intrepide utamini: & ſciatis id, quod ab omnibus paſſim iactatur, ſi, dum hoſtis eſſem vobis, vehementer nocui, me etiam, ſi vobis amicus ſim, multum vobis prodeſſe poſſe; idque eo magis, quo magis res quidem Athenienſium cognitas habeo, veſtras vero coniecturis aſſequebar. A vobis etiam peto, ut, cum nunc de maximi momenti rebus conſultari ſentiatis, ne expeditionem in Siciliam atque in Atticam ſuſcipere vos pigeat: ut exigua manu illuc una profecti, res magnas, quae illic ſunt, conſervetis; & Athenien-

τε, καὶ μετὰ ταῦτα αὐτοί τε ἀσφαλῶς οἰκῆτε, καὶ τῆς ἁπάσης Ἑλλάδος ἑκούσης, καὶ οὐ βίᾳ, κατ' εὔνοιαν δὲ ἡγήσησθε.

στγ'. Ὁ μὲν Ἀλκιβιάδης τοσαῦτα εἶπεν. οἱ δὲ Λακεδαιμόνιοι, διανοούμενοι μὲν καὶ αὐτοὶ πρότερον στρατεύειν ἐπὶ τὰς Ἀθήνας, μέλλοντες δὲ ἔτι καὶ περιορώμενοι, πολλῷ μᾶλλον ἐπερρώσθησαν, διδάξαντος ταῦτα ἕκαστα αὐτοῦ, καὶ νομίσαντες παρὰ τοῦ σαφέστατα εἰδότος ἀκηκοέναι. ὥστε τῇ ἐπιτειχίσει τῆς Δεκελείας προσεῖχον ἤδη τὸν νοῦν, καὶ τοπαραυτίκα καὶ τοῖς ἐν τῇ Σικελίᾳ πέμπειν τινὰ τιμωρίαν. καὶ Γύλιππον τὸν Κλεανδρίδου προστάξαντες ἄρχοντα τοῖς Συρακουσίοις, ἐκέλευον μετ' ἐκείνων καὶ τῶν Κορινθίων βουλευόμενον ποιεῖν ὅπη ἐκ τῶν παρόντων μάλιστα καὶ τάχιστα τὶς

ſtium potentiam, & praeſentem & futuram, evertatis: & in poſterum ipſi tuto in veſtris ſedibus habitetis, & univerſae Graeciae non invitae, ſed voluntariae, & per benevolentiam imperium obtineatis.

XCIII. Atque Alcibiades quidem haec dixit. Lacedaemonii vero, cum & ipſi iam ante bellum Athenis inferre cogitarent, ſed adhuc cunctarentur, & occaſionem obſervarent, tunc multo magis confirmati ſunt, poſtquam ipſe haec ſingula docuit, quod exiſtimarent, ſe audiſſe ab eo, qui planiſſime noſſet. Quamobrem animum iam appulerunt ad muniendam Deceleam, & ad aliquod auxilium Siculis ſtatim mittendum. Cum autem Gylippum Cleandridae filium Syracuſanis ducem aſſignaſſent, iuſſerunt eum cum ipſis & Corinthiis conſultare, operamque dare, ut pro praeſenti rerum facultate maximum aliquod auxilium Siculis, idque primo quoque tempore mitteretur. Ille ve-

ὠφέλεια ἥξει τοῖς ἐκεῖ. ὁ δὲ δύο μὲν ναῦς τοὺς Κορινθίους ἤδη ἐκέλευέν οἱ πέμπειν ἐς Ἀσίνην, τὰς δὲ λοιπὰς παρασκευάζεσθαι, ὅσας διανοοῦνται πέμπειν, καὶ ὅταν καιρὸς ᾖ, ἑτοίμας εἶναι πλεῖν. ταῦτα δὲ ξυνθέμενοι ἀνεχώρουν ἐκ τῆς Λακεδαίμονος. ἀφίκετο δὲ καὶ ἡ ἐκ τῆς Σικελίας τριήρης τῶν Ἀθηναίων, ἣν ἀπέστειλαν οἱ στρατηγοὶ ἐπί τε χρήματα καὶ ἱππέας. καὶ οἱ Ἀθηναῖοι, ἀκούσαντες, ἐψηφίσαντο τήν τε τροφὴν πέμπειν τῇ στρατιᾷ, καὶ τοὺς ἱππέας. καὶ ὁ χειμὼν ἐτελεύτα· καὶ ἕβδομον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

Bell. Pelop. an. 18. Olymp. 91. 2/3. U. C. Varr. 34. 0/1. Poſt Mart. 30. & April.

στδ'. Ἅμα δὲ τῷ ἦρι εὐθὺς ἀρχομένῳ, τοῦ ἐπιγιγνομένου θέρους, οἱ ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι, ἄραντες ἐκ τῆς Κατάνης, παρέπλευσαν ἐπὶ Μεγάρων τῶν ἐν τῇ Σικελίᾳ, οὓς ἐπὶ Γέλωνος τοῦ τυράννου (ὥσπερ καὶ πρότερόν

ro Corinthiis imperavit, ut tunc quidem duas naves Aſinem ad ſe mitterent, reliquas vero praepararent, quaſcunque mittere deſtinaſſent, utque, cum tempus adeſſet, ad navigandum eſſent paratae. His autem conſtitutis, Lacedaemone diſceſſerunt. Athenienſium etiam triremis, quam duces ad pecunias & equites adducendos miſerant, Athenas ex Sicilia pervenit. Athenienſes vero, cum poſtulata ſuorum ducum audiſſent, & commeatum & equitatum exercitui mittere decreverunt. Atque haec hiems exiit, & huius belli, quod Thucydides conſcripſit, decimus ſeptimus annus exceſſit.

XCIV. Inſequentis autem aeſtatis vere ſtatim ineunte, Athenienſes, qui erant in Sicilia, caſtris e Catana motis, navigarunt adverſus Megara, quae ſunt in Sicilia, unde (quemadmodum & prius a me commemoratum eſt) Sy-

μοι εἴρηται) ἀναστήσαντες Συρακούσιοι, αὐτοὶ ἔχουσι τὴν γῆν. ἀποβάντες δὲ ἐδήωσαν τούς τε ἀγροὺς, καὶ ἐλθόντες ἐπὶ ἔρυμά τι τῶν Συρακουσίων, καὶ οὐχ ἑλόντες, αὖθις καὶ πεζῇ καὶ ναυσὶ παρακομισθέντες ἐπὶ τὸν Τηρέαν ποταμὸν, τό, τε πεδίον ἀναβάντες ἐδήουν, καὶ τὸν σῖτον ἐνεπίμπρασαν· καὶ τῶν Συρακουσίων περιτυχόντες τισὶν οὐ πολλοῖς, καὶ ἀποκτείναντές τε τινὰς, καὶ τροπαῖον στήσαντες, ἀνεχώρησαν ἐπὶ τὰς ναῦς· καὶ ἀποπλεύσαντες ἐς Κατάνην, ἐκεῖθεν δὲ ἐπισιτισάμενοι, πάσῃ τῇ στρατιᾷ ἐχώρουν ἐπὶ Κεντόριπα Σικελῶν πόλισμα, καὶ προσαγαγόμενοι ὁμολογίᾳ, ἀπῆσαν, πιμπράντες ἅμα τὸν σῖτον τῶν τε Ἰνησσαίων καὶ τῶν Ὑβλαίων· καὶ ἀφικόμενοι ἐς Κατάνην, καταλαμβάνουσι τούς τε ἱππέας ἥκοντας ἐκ τῶν Ἀθηνῶν πεντήκον-

racuſani, pulſis ſub Gelone tyranno cultoribus, agrum ipſi habent. Exſcenſu autem ex navibus in terram facto, & agros Megarenſium vaſtarunt, & ad quandam Syracuſanorum munitionem profecti, cum eam non expugnaſſent, rurſus & itinere pedeſtri & navibus ad Teream fluvium ſe receperunt, & cum in campeſtria aſcendiſſent, ea vaſtarunt, & frumentum incenderunt. Et cum incidiſſent in nonnullos Syracuſanos, quorum numerus non erat magnus, & eorum aliquot interfeciſſent, & tropaeum erexiſſent, ad claſſem redierunt. Et Catanam reverſi, & illinc aſſumtis cibariis ad profectionem neceſſariis, cum omnibus copiis adverſus Centoripa Siculorum oppidum iverunt, eoque per deditionem certis conditionibus factam in ſuam poteſtatem redacto, diſceſſerunt, & dum iter facerent, ſegetes Ineſſaeorum & Hyblaeorum incenderunt. Catanam autem reverſi, offendunt equites ducentos quinquaginta,

τα καὶ διακοσίους, ἄνευ τῶν ἵππων, μετὰ σκευῆς, ὡς αὐτόθεν ἵππων πορισθησομένων. καὶ ἱπποτοξότας τριάκοντα, καὶ τάλαντα ἀργυρίου τριακόσια.

Aprili. στε'. Τοῦ δ' αὐτοῦ ἦρος, καὶ ἐπ' Ἄργος στρατεύ-
Maio. σαντες Λακεδαιμόνιοι, μέχρι μὲν Κλεωνῶν ἦλθον, σεισμοῦ δὲ γενομένου ἀπεχώρησαν. καὶ Ἀργεῖοι μετὰ ταῦτα ἐσβαλόντες ἐς τὴν Θυρεάτιν ὅμορον οὖσαν, λείαν τῶν Λακεδαιμονίων πολλὴν ἔλαβον, ἣ ἐπράθη ταλάντων οὐκ
Maio. ἔλαττον πέντε καὶ εἴκοσι. καὶ ὁ Θεσπιέων δῆμος ἐν τῷ αὐτῷ θέρει, οὐ πολὺ ὕστερον ἐπιβέμενος τοῖς τὰς ἀρχὰς ἔχουσιν, οὐ κατέσχεν· ἀλλὰ βοηθησάντων Ἀθηναίων, οἱ μὲν ξυνελήφθησαν, οἱ δ' ἐξέπεσον Ἀθήναζε.

στστ'. Καὶ οἱ Συρακούσιοι τοῦ αὐτοῦ θέρους ὡς ἐπύθοντο τούς τε ἱππέας ἥκοντας τοῖς Ἀθηναίοις, καὶ μέλ-

Athenis profectos, ſine equis, ac cum illorum cultu, quod ipſam Siciliam equos ſuppeditaturam putarent; & equeſtres ſagittarios triginta, & trecenta argenti talenta, Athenis advecta.

XCV. Eodem vere, Lacedaemonii, expeditione adverſus Argos ſuſcepta, progreſſi quidem ſunt ad Cleonas uſque: ſed, facto terrae motu, domum redierunt. Poſtea vero Argivi, irruptione in agrum Thyreaticum ſuo finitimum facta, magnam Lacedaemoniorum praedam ceperunt, quae talentis non minus viginti quinque vendita fuit. Neque multo poſt, eadem aeſtate, populus Theſpienſis impetum fecit in magiſtratus: ſed rerum non eſt potitus. Sed cum Athenienſes opem ipſi populo tuliſſent, partim quidem comprehenſi fuerunt, partim vero Athenas confugerunt.

XCVI. Eadem aeſtate Syracuſani, cum intellexiſſent Athenienſibus veniſſe equites, & iam adverſus ſe venire

λοντας ἤδη ἐπὶ σφᾶς ἰέναι, νομίσαντες, ἐὰν μὴ τῶν Ἐπιπολῶν κρατήσωσιν οἱ Ἀθηναῖοι, χωρίου ἀποκρήμνου τε καὶ ὑπὲρ τῆς πόλεως εὐθὺς κειμένου, οὐκ ἂν ῥᾳδίως σφᾶς, οὐδ' εἰ κρατεῖντο μάχῃ, ἀποτειχισθῆναι, διενοοῦντο τὰς προσβάσεις αὐτῶν φυλάσσειν, ὅπως μὴ κατὰ ταύτας λάθωσι σφᾶς ἀναβάντες οἱ πολέμιοι. οὐ γὰρ ἂν ἄλλῃ γε αὐτοὺς δυνηθῆναι. ἐξήρτηται γὰρ τὸ ἄλλο χωρίον, καὶ μέχρι τῆς πόλεως ἐπικλινές τε ἐστὶ, καὶ ἐπιφανὲς πᾶν εἴσω· καὶ ὠνόμασται ὑπὸ τῶν Συρακουσίων, διὰ τὸ ἐπιπολῆς τοῦ ἄλλου εἶναι, Ἐπιπολαί. καὶ οἱ μὲν ἐξελθόντες παυδημεὶ ἐς τὸν λειμῶνα, παρὰ τὸν Ἄναπον ποταμὸν, ἅμα τῇ ἡμέρᾳ (ἐτύγχανον γὰρ αὐτοῖς καὶ οἱ περὶ τὸν Ἑρμοκράτην στρατηγοὶ ἄρτι παρειληφότες τὴν ἀρχὴν) ἐξέτασίν τε ὅπλων ἐποιοῦντο, καὶ ἑπτακοσίους λογάδας τῶν ὁπλιτῶν ἐξέκριναν πρότερον,

ſtatuiſſe, exiſtimantes, ſi Athenienſes non occupaſſent Epipolas, locum praeruptum, & urbi imminentem, ſe non facile circumvallatum iri, ne ſi proelio quidem ſuperati fuiſſent; aditus, qui ad ipſas Epipolas patebant, praeſidio tueri conſtituerunt, ne per hos hoſtes clam ſe aſcenderent. nulla enim alia parte ipſos illuc aſcendere poſſe perſuaſum habebant. Nam reliquae illius collis partes ſunt altae, & ad urbem uſque declives, & introrſus omnino patentes. Et locus iſte a Syracuſanis ideo vocatus eſt Epipolae, quod ſupra cetera loca emineat. Atque hi quidem cum univerſis totius populi copiis, ſimulac dies illuxit, in pratum, iuxta Anapum fluvium, egreſſi (iam enim Hermocrates imperator eiuſque collegae imperium acceperant) exercitum recenſuerunt: & prius ex omni gravis armaturae numero ſeptingentos eximiae virtutis viros delegerunt,

ἐῶν ἦρχε Διόμιλος Φυγὰς ἐξ Ἄνδρου. ὅπως τῶν τε Ἐπιπολῶν εἵπσαν Φύλακες, καὶ ἢν ἐς ἄλλο τι δέῃ, ταχὺ ξυνεστῶτες παραγίγνωνται.

στζ'. Οἱ δὲ Ἀθηναῖοι ταύτης τῆς νυκτὸς τῇ ἐπιγιγνομένῃ ἡμέρᾳ ἐξηταζοντο, καὶ ἔλαθον αὐτοὺς παντὶ ἤδη τῷ στρατεύματι ἐκ τῆς Κατάνης σχόντες κατὰ τὸν Λέοντα καλούμενον, (ὃς ἀπέχει τῶν Ἐπιπολῶν ἓξ ἢ ἑπτὰ σταδίους) καὶ τοὺς πεζοὺς ἀποβιβάσαντες, ταῖς τε ναυσὶν ἐς τὴν Θάψον καθορμισάμενοι. ἔστι δὲ χερσόνησος μὲν ἐν στενῷ ἰσθμῷ, προὔχουσα ἐς τὸ πέλαγος, τῆς δὲ Συρακουσίων πόλεως οὔτε πλοῦν οὔτε ὁδὸν πολλὴν ἀπέχει, καὶ ὁ μὲν ναυτικὸς στρατὸς τῶν Ἀθηναίων ἐν τῇ Θάψῳ διαταυρωσάμενος τὸν ἰσθμὸν, ἡσύχαζεν· ὁ δὲ πεζὸς ἐχώρει εὐθὺς δρόμῳ πρὸς τὰς Ἐπιπολὰς, καὶ φθάνει ἀναβὰς κατὰ τὸ Εὐρύηλον, πρὶν τοὺς Συρακου-

quibus Diomilus Andrius exsul praeerat, ut & Epipolis essent praesidio, &, si ad aliquid aliud peragendum, ipsorum opera opus esset, in unum congregati, celeriter adessent.

XCVII. Postridie autem huius noctis Athenienses exercitum lustrarunt, & iam cum universis copiis e Catana profecti, ad locum nomine Leonem, ab Epipolis sex septemve stadiis distantem, clam ipsis Syracusanis appulerunt, & peditatum in terram exposuerunt, & cum classe Thapsum subierunt. Est autem peninsula, quae angusto terrae limite in mare prominet; neque sive mari, sive terra, multum a Syracusis distat. Nauticus autem Athenienſium exercitus in hac Thapso, angusto eius terrae limite circumvallato, quievit. Sed peditatus cursu confestim ad Epipolas contendit, & per Euryelum illuc ocius ascendit, & occupavit, priusquam Syracusani e prato, ubi re-

σίους αἰσθομένους ἐκ τοῦ λειμῶνος τῆς ἐξετάσεως, παραγενέσθαι. ἐβοήθουν δὲ οἵ τε ἄλλοι, ὡς ἕκαστος τάχους εἶχε, καὶ οἱ περὶ τὸν Διόμιλον ἑπτακόσιοι. στάδιοι δὲ, πρὶν προσμίξαι ἐκ τοῦ λειμῶνος, ἐγίγνοντο αὐτοῖς οὐκ ἔλασσον ἢ πέντε καὶ εἴκοσι. προσπεσόντες οὖν αὐτοῖς τοιούτῳ τρόπῳ ἀτακτότερον, καὶ μάχῃ νικηθέντες οἱ Συρακούσιοι ἐπὶ ταῖς Ἐπιπολαῖς, ἀνεχώρησαν ἐς τὴν πόλιν. καὶ ὅ τε Διόμιλος ἀπεθνήσκει, καὶ τῶν ἄλλων ὡς τριακόσιοι. καὶ μετὰ τοῦτο οἱ Ἀθηναῖοι τροπαῖόν τε στήσαντες, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀποδόντες τοῖς Συρακουσίοις, πρὸς τὴν πόλιν αὐτὴν τῇ ὑστεραίᾳ ἐπικατα-βάντες, ὡς οὐκ ἐπεξῆεσαν αὐτοῖς, ἐπαναχωρήσαντες φρούριον ἐπὶ τῷ Λαβδάλῳ ᾠκοδόμησαν, ἐπ' ἄκροις τοῖς χρημνοῖς τῶν Ἐπιπολῶν, ὁρῶν πρὸς τὰ Μέγαρα· ὅπως

censio fiebat; cognita re adessent. Accurrerunt autem ad opem Epipolis ferendam cum alii, quanta maxima quisque celeritate poterat, tum etiam illi septingenti, quibus Diomilus praeerat. Interiacebat autem inter pratum, & locum, ubi cum hoste manus conseruerunt, spatium non minus quinque ac viginti stadiorum. Hoc igitur modo, perturbatis ordinibus, Syracusani impressione in ipsos facta, & ad Epipolas proelio victi, in urbem redierunt: & cum Diomilus, tum etiam ex aliis circiter trecenti ceciderunt. Postea vero Athenienses, cum tropaeum erexissent, &, fide publica interposita, Syracusanis mortuos reddidissent, postridie ad ipsam urbem descenderunt: sed cum Syracusani adversus eos non prodissent, egressi castellum ad Labdalum, in summa Epipolarum crepidine Megara versus spectans, excitarunt, ut ipsis locus esset, in quo & instrumenta &

εἴη αὐτοῖς, ὁπότε προσίοιεν ἢ μαχούμενοι ἢ τειχιοῦντες, τοῖς τε σκεύεσι καὶ τοῖς χρήμασιν ἀποθήκη.

στή. Καὶ οὐ πολλῷ ὕστερον αὐτοῖς ἦλθον ἔκ τε Ἐγέστης τριακόσιοι, καὶ Σικελῶν καὶ Ναξίων καὶ ἄλλων τινῶν ὡς ἑκατόν. καὶ Ἀθηναίων ὑπῆρχον πεντήκοντα καὶ διακόσιοι, οἱ ἵππους τοὺς μὲν παρ' Ἐγεσταίων καὶ Καταναίων ἔλαβον, τοὺς δ' ἐπρίαντο· καὶ ξύμπαντες, πεντήκοντα καὶ ἑξακόσιοι ἱππεῖς ξυνελέγησαν. καὶ καταστήσαντες ἐν τῷ Λαβδάλῳ φυλακὴν, ἐχώρουν πρὸς τὴν Συκῆν οἱ Ἀθηναῖοι, ἵνα περ καθεζόμενοι ἐτείχισαν τὸν κύκλον διὰ τάχους. καὶ ἔκπληξιν τοῖς Συρακουσίοις παρέσχον τῷ τάχει τῆς οἰκοδομίας· καὶ ἐπεξελθόντες, μάχην διενοοῦντο ποιεῖσθαι, καὶ μὴ περιορᾶν. καὶ ἤδη ἀντιπαρατασσομένων ἀλλήλοις, οἱ τῶν Συρακουσίων

pecunias reponerent, quotieſcunque vel ad pugnandum, vel ad aliquam munitionem exſtruendam prodirent.

XCVIII. Nec multo poſt ad ipſos venerunt cum ex Egeſta trecenti equites, tum Siculorum, Naxiorum, & aliorum quorundam, circiter centum. Athenienſium vero fuerunt ducenti & quinquaginta; qui partim ab Egeſtaeis & Catanaeis equos acceperunt, partim vero coëmerunt. Univerſorum autem equitum, qui collecti fuerunt, ſumma exſtitit ſexcentorum & quinquaginta. Athenienſes igitur, cum praeſidium in Labdalo collocaſſent, adverſus Sycam iverunt; ubi conſidentes, murorum ambitum celeriter aedificarunt. Hac autem aedificationis celeritate terrorem Syracuſanis incuſſerunt. Quamobrem adverſus hoſtem progreſſi, proelium committere, neque rem negligere in animo habebant. Sed cum utrinque acies inter ſe adverſae iam inſtruerentur, Syracuſanorum duces, animadvertentes

στρατηγοὶ, ὡς ἑώρων σφίσι τὸ στράτευμα διεσπασμένον τε καὶ οὐ ῥᾳδίως ξυντασσόμενον, ἀνήγαγον πάλιν ἐς τὴν πόλιν, πλὴν μέρους τινὸς τῶν ἱππέων. οὗτοι δὲ ὑπομένοντες, ἐκώλυον τοὺς Ἀθηναίους λιθοφορεῖν τε καὶ ἀποσκίδνασθαι μακρότερον. καὶ τῶν Ἀθηναίων φυλὴ μία τῶν ὁπλιτῶν, καὶ οἱ ἱππεῖς μετ' αὐτῶν πάντες ἐτρέψαντο τοὺς τῶν Συρακουσίων ἱππέας προσβαλόντες· καὶ ἀπέκτειναν τε τινὰς, καὶ τροπαῖον τῆς ἱππομαχίας ἔστησαν.

στθ'. Καὶ τῇ ὑστεραίᾳ, οἱ μὲν ἐτείχιζον τῶν Ἀθηναίων τὸ πρὸς Βορέαν τοῦ κύκλου τεῖχος· οἱ δὲ, λίθους καὶ ξύλα ξυμφοροῦντες, παρέβαλλον ἐπὶ τὸν Τρωγίλον καλούμενον ἀεὶ ἧπερ βραχύτατον ἐγίγνετο αὐτοῖς ἐκ τοῦ μεγάλου λιμένος ἐπὶ τὴν ἑτέραν θάλασσαν τὸ ἀποτείχισμα. οἱ δὲ Συρακούσιοι, οὐχ ἥκιστα Ἑρμοκράτους

fuum exercitum eſſe diſſipatum, nec in ordinem facile redigi poſſe, eum in urbem reduxerunt, excepta quadam equitum parte. Iſti enim remanſerunt, ut impedirent Athenienſes, ne lapides ferrent, neve longius vagarentur. Sed Athenienſium una gravis armaturae cohors, & cum ea omnes equites, impreſſione in Syracuſanorum equitatum facta, eum in fugam verterunt; & nonnullos interfecerunt, huiuſque proelii equeſtris tropaeum ſtatuerunt.

XCIX. Poſtridie vero Athenienſium alii quidem, ambitum muri Boream verſus ſpectantis exſtruebant; alii vero, lapides & ligna comportabant, & in loco, qui Trogilus vocatur, ſemper deponebant, qua parte, a magno portu uſque ad alterum mare, muri aedificatio ipſis erat breviſſima. Syracuſani vero, potiſſimum Hermocratis ducis ſuaſu, cum omnibus totius populi viribus cum Athe-

τῶν στρατηγῶν ἐσηγησαμένου, μάχαις μὲν πανδημεὶ πρὸς Ἀθηναίους οὐκέτι ἐβούλοντο διακινδυνεύειν, ὑποτειχίζειν δὲ ἄμεινον ἐδόκει εἶναι ἢ ἐκεῖνοι ἔμελλον ἄξειν τὸ τεῖχος, καὶ εἰ φθάσειαν, ἀποκλείσεις γίγνεσθαι· καὶ [ἅμα] ἐν τούτῳ εἰ ἐπιβοηθοῖεν, μέρος ἀντιπέμπειν αὐτοὺς τῆς στρατιᾶς, καὶ φθάνειν ἂν τοῖς σταυροῖς προκαταλαμβάνοντες τὰς ἐφόδους. ἐκείνους δὲ ἂν παυομένους τοῦ ἔργου πάντας ἂν πρὸς σφᾶς τρέπεσθαι. ἐτείχιζον οὖν ἐξελθόντες, ἀπὸ τῆς σφετέρας πόλεως ἀρξάμενοι, κάτωθεν τοῦ κύκλου τῶν Ἀθηναίων, ἐγκάρσιον τεῖχος ἄγοντες, τάς τε ἐλαίας ἐκκόπτοντες τοῦ τεμένους, καὶ πύργους ξυλίνους καθιστάντες. αἱ δὲ νῆες τῶν Ἀθηναίων οὔπω ἐκ τῆς Θάψου περιεπεπλεύκεσαν ἐς τὸν μέγαν λιμένα, ἀλλ' ἔτι οἱ Συρακούσιοι ἐκράτουν τῶν

nienſibus pugnare, bellique fortunam periclitari amplius nolebant: ſed viſum eſt, ſatius eſſe murum ſubſtruere, qua parte illi ſuum erant ducturi, &, ſi hoſtem antevertiſſent, atque ſuum murum ante ipſius adventum ſubſtruxiſſent, ipſum a ſe diſcluſum iri ſperabant. Simul etiam, ſi interea, dum opus facerent Athenienſes, contra veniſſent, ſe adverſus ipſos, partem exercitus miſſuros, & aditus mature praeoccupaturos, valliſque munituros. Quod ſi hoſtes ſuas omnes copias contra ſe convertiſſent, hoc modo putabant illos opus facere ceſſaturos. Egreſſi igitur, murum aedificare coeperunt, quem, initio ab urbe ſua facto, ſub ambitu muri ab Athenienſibus exſtructi, tranſverſum duxerunt, exciſis oleis ſani, & ligneis turribus in eo erectis. Athenienſium enim claſſis in magnum portum ex Thapſo circumvecta nondum pervenerat: ſed Syracuſani maris imperium in locis urbi ſuae vicinis adhuc obtinebant. Athe-

περὶ τὴν θάλασσαν· κατὰ γῆν δ' ἐκ τῆς Θάψου οἱ Ἀθηναῖοι τὰ ἐπιτήδεια ἐπήγοντο.

ρ'. Ἐπειδὴ δὲ τοῖς Συρακουσίοις ἀρκούντως ἐδόκει ἔχειν ὅσα τε ἐσταυρώθη καὶ ᾠκοδομήθη τοῦ ὑποτειχίσματος, καὶ οἱ Ἀθηναῖοι αὐτοὺς οὐκ ἤλθον κωλύσοντες, φοβούμενοι μὴ σφίσι δίχα γιγνομένοις ῥᾷον μάχωνται, καὶ ἅμα τὴν καθ' αὑτοὺς περιτείχισιν ἐπειγόμενοι· οἱ μὲν Συρακούσιοι, φυλὴν μίαν καταλιπόντες φύλακα τοῦ οἰκοδομήματος, ἀνεχώρησαν ἐς τὴν πόλιν· οἱ δὲ Ἀθηναῖοι τούς τε ὀχετοὺς αὐτῶν, οἳ ἐς τὴν πόλιν ὑπενεμηδὸν ποτοῦ ὕδατος ἠγμένοι ἦσαν, διέφθειραν, καὶ τηρήσαντες τούς τε ἄλλους Συρακουσίους κατὰ σκηνὰς ὄντας ἐν μεσημβρίᾳ, καί τινας καὶ ἐς τὴν πόλιν ἀποκεχωρηκότας, καὶ τοὺς ἐν τῷ σταυρώματι ἀμελῶς φυλάσσοντας, τριακοσίους μὲν σφῶν αὐτῶν λογάδας, καὶ τῶν ψι-

nienſes vero res neceſſarias itinere terreſtri ex Thapſo in ſua caſtra afferebant.

C. Cum autem Syracuſanis vallum murique ſubſtructio ſatis firma eſſe videbantur, nec Athenienſes ad eos impediendos veniſſent, veriti, ne Syracuſani ſe bifariam diviſos facilius oppugnarent, ſimul etiam ſuam circumvallationem properantes: Syracuſani quidem, una cohorte ad ſui aedificii cuſtodiam relicta, in urbem redierunt. Athenienſes vero ipſorum aquae ductus fiſtulas, quae per cuniculos aquam ad potandum in urbem ducebant, interciderunt. Et cum obſervaſſent Syracuſanos, partim quidem meridianis horis intra tentoria ſe continentes, partim vero etiam in urbem reverſos, & illos, qui intra vallum erant, negligenter id cuſtodientes, trecentos ex ſuis electos & nonnullos ex levi armatura delectos & armatos praemiſerunt,

λῶν τινας ἐκλεκτοὺς ὡπλισμένους προὔταξαν θεῖν δρόμῳ ἐξαπιναίως πρὸς τὸ ὑποτείχισμα· ἡ δὲ ἄλλη στρατιὰ δίχα, ἡ μὲν μετὰ τοῦ ἑτέρου στρατηγοῦ πρὸς τὴν πόλιν, εἰ ἐπιβοηθοῖεν, ἐχώρουν, ἡ δὲ, μετὰ τοῦ ἑτέρου πρὸς τὸ σταύρωμα τὸ παρὰ τὴν πυλίδα. καὶ προσβαλόντες οἱ τριακόσιοι αἱροῦσι τὸ σταύρωμα, καὶ οἱ φύλακες αὐτὸ ἐκλιπόντες, κατέφυγον εἰς τὸ προτείχισμα τὸ περὶ τὸν Τεμενίτην. καὶ αὐτοῖς ξυνέπεσον οἱ διώκοντες· καὶ ἐντὸς γενόμενοι, βίᾳ ἐξεκρούσθησαν πάλιν ὑπὸ τῶν Συρακουσίων. καὶ τῶν Ἀργείων τινὲς αὐτόθι, καὶ τῶν Ἀθηναίων οὐ πολλοὶ διεφθάρησαν. καὶ ἐπαναχωρήσασα ἡ πᾶσα στρατιὰ τήν τε ὑποτείχισιν καθεῖλον, καὶ τὸ σταύρωμα ἀνέσπασαν· καὶ διεφόρησαν τοὺς σταυροὺς παρ' ἑαυτοὺς, καὶ τροπαῖον ἔστησαν.

quibus imperarunt, ut ad ſubiectam hoſtium munitionem curſu repente currerent. Reliquus vero exercitus bifariam eſt diviſus, eiuſque una quidem pars cum altero duce ad urbem contendit, ſi forte Syracuſani contra ipſos ad opem ſuae munitioni ferendam accurrerent; altera vero, cum altero duce contendit ad vallum portulae vicinum. Hi autem trecenti vallum aggreſſi capiunt, & cuſtodes, eo deſerto, in exteriorem urbis munitionem, quae erat in Temenite, confugiunt. Et qui ipſos perſequebantur, una cum ipſis illuc irruperunt; iamque illuc ingreſſi, per vim a Syracuſanis illinc reiecti fuerunt. ibique nonnulli Argivi, & Athenienſes non multi occiſi fuerunt. Univerſae autem Athenienſium copiae illinc reverſae, & munitionem ſubſtructam diruerunt, & vallum revulſerunt; & vallos apud ſe tranſportarunt, ac tropaeum erexerunt.

ρα'. Τῇ δ' ὑστεραίᾳ ἀπὸ τοῦ κύκλου ἐτείχιζον οἱ Ἀθηναῖοι τὸν κρημνὸν τὸν ὑπὲρ τοῦ ἕλους, ὃς τῶν Ἐπιπολῶν ταύτῃ πρὸς τὸν μέγαν λιμένα ὁρᾷ, καὶ ἧπερ αὐτοῖς βραχύτατον ἐγίγνετο καταβᾶσι διὰ τοῦ ὁμαλοῦ καὶ τοῦ ἕλους ἐς τὸν λιμένα τὸ περιτείχισμα. καὶ οἱ Συρακούσιοι ἐν τούτῳ ἐξελθόντες καὶ αὐτοὶ, ἀπεσταύρουν αὖθις, ἀρξάμενοι ἀπὸ τῆς πόλεως, διὰ μέσου τοῦ ἕλους· καὶ τάφρον ἅμα παρώρυσσον, ὅπως μὴ οἷόν τε ἦ τοῖς Ἀθηναίοις μέχρι τῆς θαλάσσης ἀποτειχίσαι. οἱ δ', ἐπειδὴ τὸ πρὸς τὸν κρημνὸν αὐτοῖς ἐξείργαστο, ἐπιχειροῦσιν αὖθις τῷ τῶν Συρακουσίων σταυρώματι καὶ τάφρῳ, τὰς μὲν ναῦς κελεύσαντες περιπλεῦσαι ἐκ τῆς Θάψου ἐς τὸν μέγαν λιμένα τὸν τῶν Συρακουσίων· αὐτοὶ δὲ περὶ ὄρθρον καταβάντες ἀπὸ τῶν Ἐπιπολῶν ἐς τὸ ὁμαλὸν, καὶ διὰ τοῦ ἕλους, ᾗ πηλώδες ἦν καὶ στερεφώ-

CI. Poſtridie vero eius diei Athenienſes a muri ambitu, quem iam abſolverant, rupem paludi imminentem munire coeperunt, quae ab hac Epipolarum parte magnum portum verſus vergit, & qua ipſis, per locum planum & paludem in portum deſcendentibus, breviſſimus muri ambitus erat futurus. Interea vero Syracuſani egreſſi, rurſus & ipſi vallum tranſverſum ducere coeperunt, inchoatum ab urbe, per mediam paludem. ſimul etiam foſſam prope vallum duxerunt, ne Athenienſibus murum ad mare uſque producere liceret. Illi vero, poſtquam munitionem in Epipolarum rupe coeptam abſolverunt, Syracuſanorum vallum, foſſamque rurſus aggredi ſtatuerunt; claſſe quidem ex Thapſo in magnum Syracuſanorum portum circumvehi iuſſa. Ipſi vero ſub auroram, cum ab Epipolis in planum deſcendiſſent, & per paludem (qua coenoſa & ma-

τατον, καὶ θύρας καὶ ξύλα πλατέα ἐπιβέντες, καὶ ἐπ' αὐτῶν διαβαδίσαντες, αἱροῦσιν ἅμα ἕῳ τό, τε σταύρωμα, πλὴν ὀλίγου, καὶ τὴν τάφρον, καὶ τὸ ὑπολειφθὲν εἶλον. καὶ μάχη ἐγένετο, καὶ ἐν αὐτῇ ἐνίκων οἱ Ἀθηναῖοι καὶ τῶν Συρακουσίων, οἱ μὲν τὸ δεξιὸν κέρας ἔχοντες, πρὸς τὴν πόλιν ἔφυγον, οἱ δ' ἐπὶ τῷ εὐωνύμῳ, παρὰ τὸν ποταμόν· καὶ αὐτοὺς βουλόμενοι ἀποκλείσασθαι τῆς διαβάσεως οἱ τῶν Ἀθηναίων τριακόσιοι λογάδες, δρόμῳ ἠπείγοντο πρὸς τὴν γέφυραν. δείσαντες δὲ οἱ Συρακούσιοι (ἦσαν γὰρ καὶ τῶν ἱππέων αὐτοῖς οἱ πολλοὶ ἐνταῦθα) ὁμόσε χωροῦσι τοῖς τριακοσίοις τούτοις, καὶ τρέπουσί τε αὐτοὺς, καὶ ἐσβάλλουσιν ἐς τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων. καὶ προσπεσόντων αὐτῶν, ξυνεφοβήθη καὶ ἡ πρώτη φυλακὴ τοῦ κέρως. ἰδὼν δὲ ὁ Λάμαχος, παρεβοήθει ἀπὸ τοῦ εὐωνύμου τοῦ ἑαυτῶν μετὰ τοξοτῶν

xime ſolida erat) ſupra fores aſſereſque ſubſtratos tranſiſſent, ſub ipſum diluculum capiunt & vallum, praeter exiguam partem, & foſſam: ſed paulo poſt & illam partem, quae reliqua erat, ceperunt. Et ibi proelium commiſſum eſt, & Athenienſes in eo victores exſtiterunt. Et Syracuſani, qui dextrum cornu tenebant, ad urbem fugerunt; qui vero in ſiniſtro, ad fluvium. Cum autem trecenti illi Athenienſium delecti milites tranſitum ipſis intercludere vellent, ad pontem curſu contenderunt. Quod veriti Syracuſani, (hic enim & plerique equites ipſis aderant) cum his trecentis manus conſerunt, eoſque in fugam vertunt, & impreſſionem in dextrum Athenienſium cornu faciunt. cum autem iſti in hoſtes impetum feciſſent, & prima illius cornu cohors perterrita eſt. Lamachus vero, cum hoc animadvertiſſet, a ſuo ſiniſtro cornu cum non multis ſa-

τε εὐ πολλῶν, καὶ τοὺς Ἀργείους παραλαβών· καὶ ἐπιδιαβὰς τάφρον τινὰ, καὶ μονωθεὶς μετ' ὀλίγων τῶν ξυνδιαβάντων, ἀποθνήσκει αὐτός τε καὶ πέντε ἢ ἓξ τῶν μετ' αὐτοῦ. καὶ τούτους μὲν οἱ Συρακούσιοι εὐθὺς κατὰ τάχος θάνουσιν ἁρπάσαντες πέραν τοῦ ποταμοῦ ἐς τὸ ἀσφαλές· αὐτοὶ δὲ, ἐπιόντος ἤδη καὶ τοῦ ἄλλου στρατεύματος τῶν Ἀθηναίων, ἀπεχώρουν.

ρβ'. Ἐν τούτῳ δὲ, οἱ πρὸς τὴν πόλιν αὐτῶν τοπρῶτον καταφυγόντες, ὡς ἑώρων ταῦτα γιγνόμενα, αὐτοί τε πάλιν ἀπὸ τῆς πόλεως ἀναβαρσήσαντες ἀντετάξαντο πρὸς τοὺς κατὰ σφᾶς Ἀθηναίους, καὶ μέρος τι αὐτῶν πέμπουσιν ἐπὶ τὸν κύκλον τὸν ἐπὶ ταῖς Ἐπιπολαῖς, ἡγούμενοι ἔρημον αἱρήσειν. καὶ τὸ μὲν δεκάπλεθρον προτείχισμα αὐτῶν αἱροῦσι, καὶ διεπόρθησαν, αὐτὸν δὲ τὸν

gittariis, assumtis etiam Argivis, ad opem suis ferendam accurrit. Et fossam quandam transgressus, & cum paucis una transgressis desertus, occubuit, & cum eo quinque aut sex. Hos autem Syracusani, maxima celeritate confestim arreptos, trans fluvium ante reliquarum copiarum adventum in locum tutum transportarunt: sed cum iam & reliquus Athenienſium exercitus adversus ipsos veniret, abierunt.

CII. Interea vero illi de Syracusanis, qui initio ad urbem confugerant, cum haec fieri viderent, & ipsi, sumtis animis, ab urbe rursus aciem adversus Athenienses sibi oppositos instruxerunt, & quandam suorum partem miserunt ad muri ambitum, qui Epipolas cingebat, existimantes, fore, ut eum desertum caperent. Et qui missi sunt, ipsorum quidem Athenienſium exteriorem decem iugerum munitionem ceperunt, ac diripuerunt. Nicias vero impedivit, ne ipsum etiam muri ambitum occuparent. Casu enim

κύκλον Νικίας διεκώλυσεν. ἔτυχε γὰρ ἐν αὐτῷ δι' ἀσθένειαν ὑπολελειμμένος. τὰς γὰρ μηχανὰς καὶ ξύλα ὅσα πρὸ τοῦ τείχους ἦν καταβεβλημένα, ἐμπρῆσαι τοὺς ὑπηρέτας ἐκέλευσεν, ὡς ἔγνω ἀδυνάτους αὐτοὺς ἐσομένους, ἐρημίᾳ ἀνδρῶν, ἄλλῳ τρόπῳ περιγενέσθαι. καὶ ξυνέβη οὕτως. οὐ γὰρ ἔτι προσῆλθον οἱ Συρακούσιοι διὰ τὸ πῦρ, ἀλλὰ ἀπεχώρουν πάλιν. καὶ γὰρ πρός τε τὸν κύκλον βοήθεια ἤδη κάτωθεν τῶν Ἀθηναίων ἀποδιωξάντων τοὺς ἐκεῖ ἐπανῄει, καὶ αἱ νῆες ἅμα αὐτῶν ἐκ τῆς Θάψου, ὥσπερ εἴρητο, κατέπλεον ἐς τὸν μέγαν λιμένα. ἃ ὁρῶντες οἱ ἄνωθεν, κατὰ τάχος ἀπῄεσαν, καὶ ἡ ξύμπασα στρατιὰ τῶν Συρακουσίων ἐς τὴν πόλιν, νομίσαντες μὴ ἂν ἔτι ἀπὸ τῆς παρούσης σφίσι δυνάμεως ἱκανοὶ γενέσθαι κωλῦσαι τὸν ἐπὶ τὴν θάλασσαν τειχισμόν.

ob infirmam valetudinem in eo relictus fuerat. Is enim machinas, omnemque materiam, quae ante murum erat obiecta, a suis ministris incendi iussit, postquam animadvertit, se propter virorum solitudinem nullam salutis conservandae facultatem alia ratione habituros. Atque res ita cecidit. Nam Syracusani propter incendium propius accedere non sunt ausi, sed se retro receperunt. Etenim ex locis inferioribus subsidium Athenienssium, qui Syracusanos, qui illic erant, insecuti fuerant, ad illius muri ambitum iam redibat; & ipsorum classis ex Thapso simul (ut dictum est) in magnum portum navigabat. Quae cernentes illi Syracusani, qui in superioribus locis erant, celeriter illinc abierunt, & reliquus ipsorum exercitus in urbem rediit; quod existimarent, non satis virium sibi iam adesse ad impediendum hostem, ne murum ad mare duceret.

ργ'. Μετὰ δὲ τοῦτο οἱ Ἀθηναῖοι τροπαῖον ἔστησαν, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Συρακουσίοις· καὶ τοὺς μετὰ Λαμάχου καὶ αὐτὸν ἐκομίσαντο. καὶ παρόντος ἤδη σφίσι παντὸς τοῦ στρατεύματος καὶ τοῦ ναυτικοῦ καὶ τοῦ πεζοῦ, ἀπὸ τῶν Ἐπιπολῶν καὶ τοῦ χρημνώδους ἀρξάμενοι, ἀπετείχιζον μέχρι τῆς θαλάσσης τείχει διπλῷ τοὺς Συρακουσίους. τὰ δ' ἐπιτήδεια τῇ στρατιᾷ ἐσήγετο ἐκ τῆς Ἰταλίας πανταχόθεν. ἦλθον δὲ καὶ τῶν Σικελῶν πολλοὶ ξύμμαχοι τοῖς Ἀθηναίοις, οἱ πρότερον περιεωρῶντο, καὶ ἐκ τῆς Τυρσηνίας νῆες πεντηκόντοροι τρεῖς. καὶ τἆλλα προυχώρει αὐτοῖς ἐς ἐλπίδας· καὶ γὰρ οἱ Συρακούσιοι πολέμῳ μὲν οὐκέτι ἐνόμιζον ἂν περιγενέσθαι, ὡς αὐτοῖς οὐδὲ ἀπὸ τῆς Πελοποννήσου ὠφέλεια οὐδεμία ἦκε. τοὺς δὲ λόγους ἔν τε σφίσιν αὐ-

CIII. Poſtea vero Athenienſes tropaeum erexerunt: mortuoſque Syracuſanis, interpoſita fide publica, reddiderunt, & Lamachi comites ipſumque receperunt. Cum autem omnis exercitus navalis pariter & pedeſtris ipſis iam praeſto eſſet, Syracuſanos duplici muro concluſerunt; quem, ab Epipolis & praeruptis earum partibus initio ducto, ad mare perduxerunt. Commeatus autem ad ipſorum exercitum undique ex Italia comportabantur. Ex Siculis etiam multi ad Athenienſes acceſſerunt ſocii, qui prius circumſpiciebant, belli eventum exſpectantes. Ex Hetruria quoque venerunt tres naves, quae ſingulae quinquaginta remis agebantur. Denique cetera ſic ipſis ſuccedebant, ut ſpem ipſis oſtenderent. Etenim Syracuſani non amplius exiſtimabant, ſe bello ſuperiores evaſuros, quod ne ex Peloponneſo quidem ullum auxilium ad ipſos veniret. Quare cum inter ſe ipſos, tum etiam cum Nicia de

τοῖς ἐποιοῦντο ξυμβατικούς, καὶ πρὸς τὸν Νικίαν. οὗτος γὰρ δὴ μόνος εἶχε Λαμάχου τεθνεῶτος τὴν ἀρχήν. καὶ χύρωσις μὲν εὐθεμία ἐγίγνετο, οἷα δὲ εἰκὸς ἀνθρώπων ἀπορούντων, καὶ μᾶλλον ἢ [πρὶν] πολιορκουμένων, πολλὰ ἐλέγετο πρός τε ἐκεῖνον, καὶ πλείω ἔτι κατὰ τὴν πόλιν. καὶ γάρ τινα καὶ ὑποψίαν ὑπὸ τῶν παρόντων κακῶν ἐς ἀλλήλους εἶχον· καὶ τοὺς στρατηγούς τε ἐφ' ὧν αὐτοῖς ταῦτα ξυνέβη ἔπαυσαν, ὡς ἡ δυστυχία ἢ προδοσία τῇ ἐκείνων βλαπτόμενοι, καὶ ἄλλους ἀνθεῖλοντο, Ἡρακλείδην καὶ Εὐκλέα καὶ Τελλίαν.

Thell. Pelop. an. 13. Olymp. 91. 2. U. C. Varr. 140. Iunio.

ρδ'. Ἐν δὲ τούτῳ Γύλιππος ὁ Λακεδαιμόνιος καὶ αἱ ἀπὸ τῆς Κορίνθου νῆες περὶ Λευκάδα ἤδη ἦσαν, βουλόμενοι ἐς τὴν Σικελίαν διὰ τάχους βοηθῆσαι. καὶ ὡς αὐτοῖς αἱ ἀγγελίαι ἐφοίτων δειναὶ, καὶ πᾶσαι ἐπιτοαυτὸ

compositione facienda agere coeperunt. Hic enim, defuncto Lamacho, imperium solus iam habebat. Et nihil quidem transigebatur: sed (ut fieri solet ab hominibus, qui sunt consilii inopes, & qui obsidione arctius quam antea premuntur) cum apud illum multa proponebantur, tum etiam in urbe longe plura dicebantur. Etenim & quaedam mutua suspicio propter praesentia mala inter ipsos erat orta. Quamobrem ipsis etiam ducibus, quorum ductu haec ipsis acciderant, quasi propter illorum vel infelicitatem vel proditionem clades accepissent, imperium abrogarunt; & alios, Heraclidem, & Euclem, & Telliam, in illorum locum subrogarunt.

CIV. Interea vero Gylippus Lacedaemonius, & naves Corinthiacae Leucadem iam appulerant, eo animo, ut quam celerrime in Siciliam ad opem Syracusanis ferendam traïcerent. Cum autem atroces nuntii ipsis afferrentur,

ἐψευσμέναι, ὡς ἤδη παντελῶς ἀποτετειχισμέναι αἱ Συ- Bell. Pelop.
ράκουσαι εἰσὶ, τῆς μὲν Σικελίας οὐκέτι ἐλπίδα οὐδε- an. 18.
μίαν εἶχεν ὁ Γύλιππος, τὴν δὲ Ἰταλίαν βουλόμενος Olymp.
περιποιῆσαι, αὐτὸς μὲν καὶ Πυθὴν ὁ Κορίνθιος ναυσὶ δυοῖν 91. 2/3.
μὲν Λακωνικαῖν, δυοῖν δὲ Κορινθίαιν ὀτιτάχιστα ἐπεραιώ- U. C. Varr.
θησαν τὸν Ἰόνιον ἐς Τάραντα· οἱ δὲ Κορίνθιοι πρὸς ταῖς 34. o/1.
σφετέραις δέκα Λευκαδίας δύο καὶ Ἀμπρακιώτιδας
τρεῖς προσπληρώσαντες, ὕστερον ἔμελλον πλεύσεσθαι.
καὶ ὁ μὲν Γύλιππος ἐκ τοῦ Τάραντος ἐς τὴν Θουρίαν
πρῶτον πρεσβευσάμενος κατὰ τὴν τοῦ πατρὸς ποτὲ πο-
λιτείαν, καὶ οὐ δυνάμενος αὐτοὺς προσαγαγέσθαι,
ἄρας παρέπλει τὴν Ἰταλίαν, καὶ ἀναρπασθεὶς ὑπ'
ἀνέμου κατὰ τὸν Τεριναῖον κόλπον (ὃς ἐκπνεῖ ταύτῃ μέ-
γας κατὰ Βορέαν ἑστηκὼς) ἀποφέρεται ἐς τὸ πέλα-
γος, καὶ πάλιν χειμασθεὶς ἐς ταμάλιστα, τῷ Τάραν-

omneſque in idem mendacium congruentes, Syracuſas iam omnino circumvallatas eſſe, Gylippus Siciliae quidem conſervandae nullam ſpem amplius habebat: Italiam vero conſervare cupiens, ipſe & Pythen Corinthius cum duabus Laconicis navibus, totidemque Corinthiacis, quam velociſſime tranſmiſſo Ionio, Tarentum pervenerunt. Corinthii vero, praeter ſuas decem, duabus Leucadiis & tribus Ambraciotis inſtructis, in Siciliam poſtea navigare conſtituerant. Et Gylippus quidem Tarento primum in agrum Thurium pro legato profectus, ex civitatis iure, quo pater ipſius quondam a Thuriis donatus fuerat, cum ipſos ſibi ſocios adiungere non potuiſſet, illinc ſolvens, Italiae oram legebat, & in ſinu Terinaeo abreptus a vento (qui hac in parte oppoſitus Boreae vehementer ſpirat) in altum defertur; & rurſus acerrima tempeſtate iactatus, Tarentum

τι προσμίσγει· καὶ τὰς ναῦς ὅσαι ἐπόνησαν ὑπὸ τοῦ χειμῶνος, ἀνελκύσας ἐπεσκεύαζεν. ὁ δὲ Νικίας, πυθόμενος αὐτὸν πλέοντα, ὑπερεῖδε τὸ πλῆθος τῶν νεῶν· ὅπερ καὶ οἱ Θούριοι ἔπαθον· καὶ ληστικώτερον ἔδοξε παρεσκευασμένους πλεῖν, καὶ οὐδεμίαν φυλακὴν πω ἐποιεῖτο.

ρέ. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ θέρους καὶ Λακεδαιμόνιοι ἐς τὸ Ἄργος ἐσέβαλον, αὐτοί τε καὶ οἱ ξύμμαχοι, καὶ τῆς γῆς τὴν πολλὴν ἐδῄωσαν. καὶ Ἀθηναῖοι Ἀργείοις τριάκοντα ναυσὶν ἐβοήθησαν, αἵπερ τὰς σπονδὰς φανερώτατα πρὸς Λακεδαιμονίους αὐτοῖς ἔλυσαν. πρότερον μὲν γὰρ ληστείαις ἐκ Πύλου, καὶ περὶ τὴν ἄλλην Πελοπόννησον μᾶλλον ἢ ἐς τὴν Λακωνικὴν ἀποβαίνοντες, μετά τε Ἀργείων καὶ Μαντινέων ἐπολέμουν. καὶ πολλάκις Ἀργείων κελευόντων, ὅσον σχόντας

appellit. Naves autem, quotquot tempeſtate quaſſatae fuerant, ſubduxit, & refecit. Nicias vero, cum eum in Siciliam venire audiſſet, navium, quas ille ſecum ducebat, paucitatem contemſit. quod & Thurii fecerunt. Videbantur enim praedonum ritu inſtructi navigare, atque propterea nullam cuſtodiam adhuc adhibebat.

CV. Per eadem huius aeſtatis tempora Lacedaemonii, cum ipſi, tum ipſorum ſocii, irruptionem una cum ipſis in agrum Argivum fecerunt, eiuſque magnam partem vaſtarunt. Athenienſes autem cum triginta navibus, quae foedera, ipſis cum Lacedaemoniis intercedentia, manifeſtiſſime ruperunt, Argivis auxilium tulerunt. Prius enim Pylo in agrum vicinum excurrentes, & in ceteram Peloponneſum potius quam in Laconicam exſcendentes, cum Argivis & Mantineis latrocinia potius exercebant, quam iuſtum bellum gerebant. Quamvis enim Argivi ipſos ſaepe

μόνον ξὺν ὅπλοις ἐς τὴν Λακωνικὴν, καὶ τὸ ἐλάχιστον μετὰ σφῶν δηώσαντας ἀπελθεῖν, οὐκ ἤθελον· τότε δὲ Πυθοδώρου καὶ Λαισπεδίου καὶ Δημαράτου ἀρχόντων, ἀποβάντες ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν καὶ Πρασιὰν, καὶ ὅσα ἄλλα ἐδήωσαν τῆς γῆς, καὶ τοῖς Λακεδαιμονίοις ἤδη εὐπροφάσιστον μᾶλλον τὴν αἰτίαν ἐς τοὺς Ἀθηναίους τοῦ ἀμύνεσθαι ἐποίησαν. ἀναχωρησάντων δὲ τῶν Ἀθηναίων ἐκ τοῦ Ἄργους ταῖς ναυσὶ, καὶ τῶν Λακεδαιμονίων, οἱ Ἀργεῖοι ἐσβαλόντες ἐς τὴν Φλιασίαν, τῆς τε γῆς αὐτῶν ἔτεμον, καὶ ἀπέκτειναν τινας, καὶ ἀπῆλθον ἐπ' οἴκου. Ante Iun. 25.

rogaſſent, ut armata manu vel appellerent ſolum ad Laconicam, &, minima illius parte ſecum vaſtata, diſcederent; noluerunt. Tunc vero Pythodoro & Laeſpodio & Demarato ducibus, exſcenſu ex navibus facto in Epidauri Limerae & Praſiae agrum, ac in alia quaedam loca, eorum agrum vaſtarunt; & hoc modo effecerunt, ut Lacedaemonii multo honeſtiorem ſeſe adverſus Athenienſes tuendi occaſionem iam haberent. Cum autem Athenienſes ex agro Argivo domum cum claſſe revertiſſent, & Lacedaemonii cum ſuis; Argivi, irruptione in agrum Phliaſium facta, eius partem vaſtarunt, & nonnullos interfecerunt, domumque redierunt.

Digitized by Google

ΘΟΥΚΥΔΙΔΟΥ

ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΕΒΔΟΜΟΝ

EPITOME LIBRI VII.

GYLIPPUS Lacedaemonius Syracuſas cum copiis veniens, primo proelio ab Athenienſibus fuſus, altero victor eos intra munimenta compulit. Cap. VI. *Hinc utrique Peloponneſii & Athenienſes auxilia ſuis in Siciliam mittere parant: & Peloponneſii Atticam ingreſſi, Deceleam in ea caſtellum communiunt.* XVII. XIX. *Syracuſani terra marique Athenienſes ſimul adorti, Plemmyrii munitiones expugnant, ad oſtium magni portus naves eorum primo vincunt, mox ab iiſdem ſuperantur.* XXV. *Mycaleſſiorum in Boeotia urbs Thracum impetu deletur.* XXX. *Corinthii cum Athenienſibus ad Erineum navali certamine ambigua victoria dimicarunt.* XXXIV. *Athenienſes mari a Syracuſanis vincuntur.* XLI. *Demoſthenes Athenienſis dux, cum praevalidis terreſtribus maritimiſque copiis veniens, Epipolas noctu aggreſſus magna ſtrage a Syracuſanis funditur.* XLIV. *Nec multo poſt a Nicia prohibiti Syracuſis abſcedere Athenienſes, denuo navali acie ſuperantur.* LII. *Qua de cauſa ipſi ad ſupremum ſe certamen accingunt. (obiter utriuſque gentis auxiliares recenſentur:) & cum totis dimicatum viribus eſſet, maxima clade proſligati, terra diſcedere ſtatuerunt.* LXX. LXXIII. *Syracuſanis autem demorantibus iter, per aliquot dies miſere confecti, tandem Demoſthenes cum ſuis militibus ſe Syracuſanis dedidit:* LXXXII. *ac paulo poſt Nicias quoque cum ſuis captus eſt.* LXXXV. *Dux uterque necatus, milites, pars venditi, pars in latomias coniecti: omneſque ſic in Sicilia Athenienſium copiae occidione deletae.*

ΘΟΥΚΥΔΙΔΟΥ
ΟΛΟΡΟΥ
ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΕΒΔΟΜΟΝ.

THUCYDIDIS
OLORI FILII
HISTORIAE LIBER SEPTIMUS.

Ὁ δε Γύλιππος καὶ ὁ Πυθὴν, ἐκ τοῦ Τάραντος, ἐπεὶ ἐπεσκεύασαν τὰς ναῦς, παρέπλευσαν ἐς Λοκροὺς τοὺς Ἐπιζεφυρίους. καὶ πυνθανόμενοι σαφέστερον ἤδη ὅτι οὐ παντελῶς πω ἀπετετειχισμέναι αἱ Συράκουσαι εἰσὶν, ἀλλ' ἔτι οἷόν τε κατὰ τὰς Ἐπιπολὰς στρατιᾷ ἀφικομένοις ἐσελθεῖν, ἐβουλεύοντο εἰτ' ἐν δεξιᾷ λαβόντες τὴν Σικελίαν διακινδυνεύσωσιν ἐσπλεῦσαι, εἰτ' ἐν

Bell. Pelop. an. 18. Olymp. 91. 3. U. C. Varr. 340. Post Iun. 26.

Gylippus autem ac Pythen, postquam naves refecerunt, Tarento solventes, ad Locros Epizephyrios navigarunt. Iam autem certiores facti Syracusas nondum undique circumvallatas, sed adhuc licere cum exercitu venientibus per Epipolas introire, consultare coeperunt, utrum a dextro Siciliae latere navigantes introitum in urbem periclitarentur, an vero sinistrum latus sequentes, Himeram

ἀριστερᾷ ἐς Ἰμέραν πρῶτον πλεύσαντες, καὶ αὐτούς τε ἐκείνους καὶ στρατιὰν ἄλλην προσλαβόντες, οὓς ἂν πείθωσι, κατὰ γῆν ἔλθωσι. καὶ ἔδοξεν αὐτοῖς ἐπὶ τῆς Ἰμέρας πλεῖν, ἄλλως τε καὶ τῶν Ἀττικῶν τεσσάρων νεῶν οὔπω παρουσῶν ἐν τῷ Ῥηγίῳ, ἃς ὁ Νικίας ὅμως πυνθανόμενος αὐτοὺς ἐν Λοκροῖς εἶναι ἀπέστειλε. Φθάσαντες δὲ τὴν Φυλακὴν ταύτην περαιοῦνται διὰ τοῦ πορθμοῦ· καὶ σχόντες Ῥηγίῳ καὶ Μεσήνῃ, ἀφικνοῦνται ἐς Ἰμέραν. ἐκεῖ δὲ ὄντες, τούς τε Ἰμεραίους ἔπεισαν ξυμπολεμεῖν, καὶ αὐτούς τε ἕπεσθαι, καὶ τοῖς ἐκ τῶν νεῶν τῶν σφετέρων ναύταις ὅσοι μὴ εἶχον ὅπλα παρασχεῖν. τὰς γὰρ ναῦς ἀνείλκυσαν ἐν Ἰμέρᾳ. καὶ τοὺς Σελινουντίους, πέμψαντες ἐκέλευον ἁπάντᾳ παστρατιᾷ ἔς τι χωρίον.

primum peterent, & cum illis ipſis Himeraeis, tum etiam aliis copiis aſſumtis, ex illorum numero, quos ad hanc expeditionem inducere potuiſſent, Syracuſas itinere terreſtri proficiſcerentur. Ipſis autem placuit Himeram proficiſci, praeſertim quod quatuor Atticae naves nondum Rhegium appulerant, quas Nicias, quamvis claſſem hoſtilem contemneret, tamen ad eius adventum obſervandum miſerat, cum eos apud Locros eſſe intellexiſſet. Sed Gylippus & Pythen hunc iſtarum navium adventum, atque has excubias praeverterunt, ac per fretum in Siciliam ocius traiecerunt. Et cum Rhegium ac inde Meſſanam appuliſſent, Himeram iverunt. Cum autem illic eſſent, Himeraeis perſuadebant, ut arma conſociarent, & ſe ſequerentur, & nautis ſuis arma, quibus deerant, praeberent. Naves enim Himerae ſubduxerant. Praeterea Selinuntios, miſſis ad eos nuntiis, ad quendam locum ipſis deſignatum, ſibi cum omnibus copiis obviam venire iuſſerunt. Nonnullas etiam

Digitized by Google

πέμψειν δέ τινα αὐτοῖς ὑπέσχοντο στρατιὰν οὐ πολλὴν καὶ οἱ Γελῶοι καὶ τῶν Σικελῶν τινες, οἳ πολὺ προθυμότερον προσχωρεῖν ἕτοιμοι ἦσαν, τοῦ Ἀρχωνίδου νεωστὶ τεθνηκότος, ὃς τῶν ταύτῃ Σικελῶν βασιλεύων τινῶν, καὶ ὢν οὐκ ἀδύνατος, τοῖς Ἀθηναίοις φίλος ἦν· καὶ τοῦ Γυλίππου ἐκ Λακεδαίμονος προθύμως δοκοῦντος ἥκειν. καὶ ὁ μὲν Γύλιππος, ἀναλαβὼν τῶν τε σφετέρων ναυτῶν καὶ ἐπιβατῶν τοὺς ὡπλισμένους ἑπτακοσίους μάλιστα, Ἱμεραίους δὲ ὁπλίτας καὶ ψιλοὺς ξυναμφοτέρους χιλίους, καὶ ἱππέας ἑκατὸν, καὶ Σελινουντίων τινὰς ψιλοὺς, καὶ ἱππέας καὶ Γελώων ὀλίγους, Σικελῶν τε ἐς χιλίους τοὺς πάντας, ἐχώρει πρὸς τὰς Συρακούσας.

β'. Οἱ δ' ἐκ τῆς Λευκάδος Κορίνθιοι ταῖς τε ἄλλαις ναυσὶν ὡς εἶχον τάχους ἐβοήθουν, καὶ Γόγγυλος εἷς τῶν

copias non magnas ſe miſſuros ad ipſos promiſerunt & Geloi & Siculorum nonnulli, qui longe alacrius, quam ante, ad illorum ſocietatem ſequendam erant parati, tum quod Archonides nuper deceſſiſſet, qui cum in ea Siciliae parte regnaret, nec parum potens eſſet, Athenienſibus amicus erat: tum etiam quod Gylippus Lacedaemone alacriter venire videretur. Gylippus autem, aſſumtis e ſuorum nauarum ac epibataruni numero, quos armaverat, ad ſeptingentos, & Himeraeorum tam gravis quam levis armaturae ex utriſque promiſcue ad mille, & equitibus centum, & Selinuntiorum aliquot leviter armatis, & equitibus etiam Geloorum paucis, & Siculorum mille univerſe militibus, Syracuſas perrexit.

II. Corinthii autem, a Leucade ſolventes, cum reliquis navibus, celeritate quanta maxima potuerunt, ad opem Syracuſanis ferendam venerunt. Et Gongylus, unus Co-

Κορινθίων ἀρχόντων μιᾷ νηὶ τελευταῖος ὁρμηθεὶς, πρῶτος μὲν ἀφικνεῖται ἐς τὰς Συρακούσας, ὀλίγον δὲ πρὸ Γυλίππου. καὶ καταλαβὼν αὐτοὺς περὶ ἀπαλλαγῆς τοῦ πολέμου μέλλοντας ἐκκλησιάσειν, διεκώλυσέ τε, καὶ παρεθάρσυνε, λέγων ὅτι νῆές τε ἄλλαι ἔτι προσπλέουσι, καὶ Γύλιππος ὁ Κλεανδρίδου Λακεδαιμονίων ἀποστειλάντων ἄρχων. καὶ οἱ μὲν Συρακούσιοι ἐπερρώσθησάν τε, καὶ τῷ Γυλίππῳ εὐθὺς παντστρατιᾷ ὡς ἀπαντησόμενοι ἐξῆλθον. ἤδη γὰρ καὶ ἐγγὺς ὄντα ἠσθάνοντο αὐτόν. ὁ δὲ Ἰέγας τό, τε τεῖχος ἐν τῇ παρόδῳ τῶν Σικελῶν ἑλὼν, καὶ ξυνταξάμενος ὡς ἐς μάχην, ἀφικνεῖται ἐς τὰς Ἐπιπολάς· καὶ ἀναβὰς κατὰ τὸν Εὐρύηλον, ἥπερ καὶ οἱ Ἀθηναῖοι τοπρῶτον, ἐχώρει μετὰ τῶν Συρακουσίων ἐπὶ τὸ τείχισμα τῶν Ἀθηναίων. ἔτυχε δὲ κατὰ τοῦτο καιροῦ ἑλθὼν ἐν ᾧ ἑπτὰ μὲν ἢ ὀκτὼ σταδίων

rinthiorum dux, qui poſtremus cum una navi profectus fuerat, primus quidem, ſed tamen paulo ante Gylippum, Syracuſas appulit. Nactus autem ipſos Syracuſanos, qui de bello ſedando & compoſitione facienda concionem erant habituri, hoc ne facerent, impedivit, ac eorum animos confirmavit; quod dixiſſet, alias etiam naves, & Gylippum Cleandridae filium, ducem a Lacedaemoniis miſſum, adventare. Quamobrem Syracuſani animis confirmati ſunt, & confeſtim Gylippo cum omnibus copiis obviam ituri prodierunt. Iam enim ipſum adventare audierant. Ille vero, cum Iegas Siculorum munitionem obiter cepiſſet, & aciem ut ad proelium inſtruxiſſet, ad Epipolas contendit: & cum per Euryelum aſcendiſſet, qua & ipſi Athenienſes prius aſcenderant, cum Syracuſanis adverſus Athenienſium munitionem perrexit. Forte autem id temporis eo

ἤδη ἐπετετέλεστο τοῖς Ἀθηναίοις ἐς τὸν μέγαν λιμένα διπλοῦν τεῖχος, πλὴν κατὰ βραχύ τι τὸ πρὸς τὴν θάλασσαν· τοῦτο δ' ἔτι ᾠκοδόμουν. τῷ δὲ ἄλλῳ τοῦ κύκλου πρὸς τὸν Τρώγιλον ἐπὶ τὴν ἑτέραν θάλασσαν, λίθοι τε παραβεβλημένοι τῷ πλέονι ἤδη ἦσαν, καὶ ἔστιν ἃ καὶ ἠμίεργα, τὰ δὲ καὶ ἐξειργασμένα κατελείπετο. παρὰ τοσοῦτον μὲν αἱ Συράκουσαι ἦλθον κινδύνου.

γ'. Οἱ δὲ Ἀθηναῖοι, αἰφνιδίως τοῦ τε Γυλίππου καὶ τῶν Συρακουσίων σφίσιν ἐπιόντων, ἐθορυβήθησαν μὲν πρῶτον, παρετάξαντο δέ. ὁ δὲ, θέμενος τὰ ὅπλα ἐγγὺς, κήρυκα προπέμπει αὐτοῖς, λέγοντα, εἰ βούλονται ἐξιέναι ἐκ τῆς Σικελίας, πέντε ἡμερῶν, λαβόντες τὰ σφέτερα αὐτῶν, ἕτοιμος εἶναι σπένδεσθαι. οἱ δὲ, ἐν ὀλι-

venit, quo duplex murus ſeptem octove ſtadiorum longitudine iam ab Athenienſibus ad magnum portum perfectus erat, excepta exigua quadam eius parte, quae mare verſus ſpectabat. nam Athenienſes partem iſtam adhuc aedificabant. Ab altera vero, eaque maiore ambitus parte, Trogilum verſus, ad alterum mare, lapides iam comportati iacebant; & opus alibi quidem ſemiperfectum, alibi vero etiam perfectum erat relictum. Eo periculi Syracuſae venerant.

III. Athenienſes vero, propter repentinum ac ſibi infeſtum Gylippi & Syracuſanorum adventum, primum quidem turbati ſunt, aciem tamen inſtruxerunt. Ille vero, iuxta ipſos agmen ſiſtens, caduceatorem ad ipſos praemittit, qui diceret, ſi intra quinque dies ex Sicilia diſcedere vellent, ſumtis ſuis rebus, ſe paratum eſſe ad foedus cum ipſis faciendum. Illi vero haec parvi faciebant, nulloque

γωρίᾳ τε ἐποιοῦντο, καὶ οὐδὲν ἀποκρινάμενοι, ἀπέπεμψαν. καὶ μετὰ τοῦτο ἀντιπαρεσκευάζοντο ἀλλήλοις ὡς ἐς μάχην. καὶ ὁ Γύλιππος ἰδὼν τοὺς Συρακουσίους ταρασσομένους, καὶ οὐ ῥᾳδίως ξυνταξομένους, ἐπανῆγε τὸ στρατόπεδον ἐς τὴν εὐρυχωρίαν μᾶλλον. καὶ ὁ Νικίας οὐκ ἐπῆγε τοὺς Ἀθηναίους, ἀλλ' ἡσύχαζε πρὸς τῷ ἑαυτοῦ τείχει. ὡς δ' ἔγνω ὁ Γύλιππος οὐ προσιόντας αὐτοὺς, ἀπήγαγε τὴν στρατιὰν ἐπὶ τὴν ἄκραν τὴν Τεμενίτην καλουμένην, καὶ αὐτοῦ ηὐλίσαντο. τῇ δ' ὑστεραίᾳ ἄγων τὴν μὲν πλείστην τῆς στρατιᾶς παρέταξε πρὸς τὰ τείχη τῶν Ἀθηναίων, ὅπως μὴ ἐπιβοηθεῖεν ἄλλοσε. μέρος δέ τι πέμψας πρὸς τὸ Φρούριον τὸ Λάβδαλον, αἱρεῖ, καὶ ὅσους ἔλαβεν ἐν αὐτῷ, πάντας ἀπέκτεινεν. ἦν δὲ οὐκ ἐπιφανὲς τοῖς Ἀθηναίοις τὸ χωρίον. καὶ τριήρης τῇ αὐτῇ

responſo reddito caduceatorem remiſerunt. Poſtea vero utrique aciem aciei adverſam, ut ad proelium, inſtruxerunt. Sed Gylippus animadvertens, Syracuſanos perturbari, nec facile in ſuos ordines redigi, copias in locum patentiorem reduxit. Nicias vero Athenienſes adverſus hoſtem non duxit, ſed prope ſuam munitionem ſe cum ſuis copiis continuit. Gylippus autem, cum animadvertiſſet ipſos contra ſe non venientes, exercitum abduxit in verticem nomine Temeniten: ibique caſtris poſitis pernoctarunt. Poſtridie vero maiorem ſuarum copiarum partem acie inſtructa ad Athenienſium muros duxit, ne alio ad opem ſuis ferendam irent. Quadam autem copiarum parte ad caſtellum Labdalum miſſa, id cepit, & quotquot in eo nactus eſt, omnes interfecit. Is enim locus a ceteris Athenienſibus conſpici non poterat. Eodem die triremis etiam Athenienſium a Sy-

ἡμέρᾳ ἁλίσκεται τῶν Ἀθηναίων ὑπὸ τῶν Συρακουσίων, ἐφορμοῦσα τῷ λιμένι.

δ'. Καὶ μετὰ ταῦτα ἐτείχιζον οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι διὰ τῶν Ἐπιπολῶν, ἀπὸ τῆς πόλεως ἀρξάμενοι ἄνω πρὸς τὸ ἐγκάρσιον τεῖχος ἁπλοῦν· ὅπως οἱ Ἀθηναῖοι, εἰ μὴ δύναιντο κωλῦσαι, μηκέτι οἷοί τε ὦσιν ἀποτειχίσαι. καὶ οἵ, τε Ἀθηναῖοι ἀναβεβήκεσαν ἤδη ἄνω, τὸ ἐπὶ θαλάσσῃ τεῖχος ἐπιτελέσαντες, καὶ ὁ Γύλιππος (ἦν γάρ τι τοῖς Ἀθηναίοις τοῦ τείχους ἀσθενὲς) νυκτὸς ἀναλαβὼν τὴν στρατιὰν, ἐπῆε πρὸς αὐτό. οἱ δ' Ἀθηναῖοι (ἔτυχον γὰρ ἔξω αὐλιζόμενοι) ὡς ἤσθοντο, ἀντεπῆσαν. ὁ δὲ γνοὺς, κατὰ τάχος ἀπήγαγε τοὺς σφετέρους πάλιν. ἐποικοδομήσαντες δὲ αὐτὸ οἱ Ἀθηναῖοι ὑψηλότερον, αὐτοὶ μὲν ταύτῃ ἐφύλασσον, τοὺς δὲ ἄλλους ξυμμάχους κατὰ τὸ ἄλλο τείχισμα ἤδη διέταξαν

racuſanis capta eſt, dum ad magnum portum appelleret.

IV. Poſtea vero Syracuſani & ſocii murum exſtruere coeperunt, initio ab urbe facto, eum per Epipolas ſurſum verſus ducentes ad illum alterum tranſverſum ac ſimplicem murum, a Syracuſanis iam exſtructum, ut Athenienſes, niſi impedire poſſent, circumvallare amplius non poſſent. Athenienſes autem, muro ad mare abſoluto, in loca ſuperiora iam ſe receperant: ſed Gylippus, (erat enim quaedam illius muri ab Athenienſibus exſtructi pars infirma) noctu copiis aſſumtis, ad illum contendit. Athenienſes vero, (nam extra vallum ſtationem habebant) cum hoc ſenſiſſent, obviam ei iverunt. Ille vero, cum hoc animadvertiſſet, ſuos celeriter reduxit. Athenienſes autem, hoc muro ſublimius excitato, ipſi quidem hic excubias agebant, reliquos vero ſocios in reliquis illius munitionis

ἥπερ ἔμελλον ἕκαστοι φρουρεῖν. τῷ δὲ Νικίᾳ ἐδόκει τὸ Πλημμύριον καλούμενον τειχίσαι· (ἔστι δὲ ἄκρα ἀντιπέρας τῆς πόλεως, ἥπερ προύχουσα τοῦ μεγάλου λιμένος τὸ στόμα στενὸν ποιεῖ) καὶ εἰ τειχισθείη, ῥᾴων αὐτῷ ἐφαίνετο ἡ ἐσκομιδὴ τῶν ἐπιτηδείων ἔσεσθαι. δι' ἐλάσσονος γὰρ πρὸς τῷ λιμένι τῷ τῶν Συρακουσίων ἐφορμήσειν σφᾶς, καὶ οὐχ ὥσπερ νῦν ἐκ μυχοῦ τοῦ λιμένος τὰς ἐπαγωγὰς ποιήσεσθαι, ἤν τι ναυτικῷ κινῶνται. προσεῖχέ τε ἤδη μᾶλλον τῷ κατὰ θάλασσαν πολέμῳ, ὁρῶν τὰ ἐκ τῆς γῆς σφίσιν, ἐπειδὴ Γύλιππος ἦκεν, ἀνελπιστότερα ὄντα. διακομίσας οὖν στρατιὰν καὶ τὰς ναῦς, ἐξετείχιζε τρία φρούρια· καὶ ἐν αὐτοῖς τά τε σκεύη τὰ πλεῖστα ἔκειτο, καὶ τὰ πλοῖα ἤδη ἐκεῖ τὰ μεγάλα ὥρμει, καὶ αἱ ταχεῖαι νῆες. ὥστε καὶ τῶν πλη-

partibus, ubi ſinguli excubias erant acturi, iam diſpoſuerant. Niciae vero videbatur muniendus eſſe locus, quem Plemmyrium vocant. (Eſt autem promontorium e regione urbis, quod, in magnum portum prominens, eius fauces coarctat.) Hoc enim munito, commeatus in caſtra facilius importatum iri iudicabat. Breviore enim intervallo prope parvum Syracuſanorum portum ſe ſtationem habituros, neque quemadmodum tunc facere cogebantur, ex intimo magni portus ſinu, atque longiore intervallo, ſe ituros contra hoſtes, ſi quid illi claſſe molirentur. Quamobrem animum ad bellum maritimum iam magis appellebat, quod poſt adventum Gylippi minorem ſpem de rebus terreſtribus ſibi concipiendam eſſe videret. Copiis igitur & navibus eo traductis, tria propugnacula exſtruxit. In his autem pleraque inſtrumenta repoſita erant; & magna navigia, naveſque veloces illic in ſtatione iam manebant.

ρωμάτων οὐχ ἥκιστα τότε πρῶτον κάκωσις ἐγένετο· τῷ τε γὰρ ὕδατι σπανίῳ χρώμενοι, καὶ οὐκ ἐγγύθεν, καὶ ἐπὶ φρυγανισμὸν ἅμα ὁπότε ἐξέλθοιεν οἱ ναῦται, ὑπὸ τῶν ἱππέων τῶν Συρακουσίων, κρατούντων τῆς γῆς, διεφθείροντο. τρίτον γὰρ μέρος τῶν ἱππέων τοῖς Συρακουσίοις διὰ τοὺς ἐν τῷ Πλημμυρίῳ, ἵνα μὴ κακουργήσαντες ἐξίοιεν, ἐπὶ τῇ ἐν τῷ Ὀλυμπιείῳ πολίχνῃ ἐτετάχατο. ἐπυνθάνετο δὲ καὶ τὰς λοιπὰς τῶν Κορινθίων ναῦς προσπλεούσας ὁ Νικίας· καὶ πέμπει ἐς φυλακὴν αὐτῶν εἴκοσι ναῦς, αἷς εἴρητο περί τε Λοκροὺς καὶ Ῥήγιον καὶ τὴν προσβολὴν τῆς Σικελίας ναυλοχεῖν αὐτάς.

ε'. Ὁ δὲ Γύλιππος ἅμα μὲν ἐτείχιζε τὸ διὰ τῶν Ἐπιπολῶν τεῖχος, τοῖς λίθοις χρώμενος οὓς οἱ Ἀθηναῖοι προσπαρεβάλοντο σφίσιν, ἅμα δὲ παρέτασσεν ἐξάγων

Quamobrem etiam tunc primum maxima claſſiariorum militum iactura facta eſt: nam aquae penuria laborabant, & procul a munitionibus aquari cogebantur. Praeterea quoties nautae lignatum prodibant, ab equitatu Syracuſanorum, qui terram obtinebat, excepti plerique interficiebantur. Nam tertia equitatus pars a Syracuſanis in oppidulo, quod eſt in Olympieo, collocata fuerat, propter illos, qui erant in Plemmyrio, ne ad agrum maleficiis infeſtandum illinc prodirent. Praeterea Nicias reliquas etiam Corinthiorum naves adventare audiebat. Quare viginti naves miſit, ut illarum adventum obſervarent; quibus mandatum fuerat, ut circa Locros, & Rhegium, & loca, per quae acceſſus ad Siciliam patebat, ſtationem haberent.

V. Gylippus vero ſimul quidem murum, quem per Epipolas ducebat, exſtruebat, utens lapidibus, quos Athenienſes in uſum ſuum aggeſſerant: ſimul etiam Syracuſa-

ἀεὶ πρὸ τοῦ τειχίσματος τοὺς Συρακουσίους, καὶ τοὺς ξυμμαχους· καὶ οἱ Ἀθηναῖοι ἀντιπαρετάσσοντο. ἐπειδὴ δὲ ἔδοξε Γυλίππῳ καιρὸς εἶναι, ἦρχε τῆς ἐφόδου, καὶ ἐν χερσὶ γενόμενοι ἐμάχοντο μεταξὺ τῶν τειχισμάτων, ᾗ τῆς ἵππου τῶν Συρακουσίων [καὶ τῶν ξυμμάχων] οὐδεμία χρῆσις ἦν· καὶ νικηθέντων τῶν Συρακουσίων καὶ τῶν ξυμμαχων, καὶ νεκροὺς ὑποσπόνδους ἀνελομένων, καὶ τῶν Ἀθηναίων τροπαῖον στησάντων, ὁ Γύλιππος ξυγκαλέσας τὸ στράτευμα, οὐκ ἔφη τὸ ἁμάρτημα ἐκείνων ἀλλ' αὐτοῦ γενέσθαι. τῆς γὰρ ἵππου καὶ τῶν ἀκοντιστῶν τὴν ὠφέλειαν, τῇ τάξει ἐντὸς λίαν τῶν τειχῶν ποιήσας, ἀφελέσθαι. νῦν οὖν αὖθις ἐπάξειν. καὶ διανοεῖσθαι οὕτως ἐκέλευεν αὐτοὺς ὡς τῇ μὲν παρασκευῇ οὐκ ἔλασσον ἔξοντας, τῇ δὲ γνώμῃ, οὐκ ἀνεκτὸν ἐσόμενον εἰ μὴ ἀξιώσουσι, Πελοποννήσιοί τε ὄντες καὶ Δωριεῖς, Ἰώνων

nos & ſocios in aciem extra munitionem producebat. Et Athenienſes aciem illis oppoſitam inſtruebant. Poſtquam autem Gylippo tempus opportunum adeſſe viſum eſt, hoſtes prior aggreſſus eſt. Et cum ad manus veniſſent, pugnarunt in eo ſpatio, quod inter utrorumque munitiones erat, ubi nullus erat uſus equitatus Syracuſanorum atque ſociorum. Cum autem Syracuſani & ſocii victi fuiſſent, ſuorumque cadavera fide publica interpoſita ſuſtuliſſent, & Athenienſes tropaeum erexiſſent; Gylippus, convocatis copiis, non illarum, ſed ſuam culpam fuiſſe dixit. Se enim equitatus ac velitum uſum ipſis eripuiſſe, quod inter utrorumque munitiones in loco nimis anguſto aciem inſtruxiſſet. Nunc autem ſe rurſus eductum. Quare jubebat illos ita ſecum cogitare, ſe quidem apparatu inferiores non futuros; animis vero ſic eſſe ſtatuendum, minime feren-

καὶ νησιωτῶν καὶ ξυγκλύδων ἀνθρώπων, κρατήσαντες, ἐξελάσασθαι ἐκ τῆς χώρας.

στ'. Καὶ μετὰ ταῦτα ἐπειδὴ καιρὸς ἦν, αὖθις ἐπῆγεν αὐτούς. ὁ δὲ Νικίας καὶ οἱ Ἀθηναῖοι νομίζοντες καὶ ἐκεῖνοι, εἰ μὴ ἐβέλοιεν μάχης ἄρχειν, ἀναγκαῖον εἶναι σφίσι μὴ περιορᾶν παροικοδομούμενον τὸ τεῖχος· ἤδη γὰρ καὶ ὀσονοῦ παρεληλύθει τὴν τῶν Ἀθηναίων τοῦ τείχους τελευτὴν ἡ ἐκείνων τείχισις· καὶ εἰ προέλθοι, ταυτὸν ἤδη ἐποίει αὐτοῖς, νικᾶν τε μαχομένοις διαπαντὸς, καὶ μηδὲ μάχεσθαι. ἀντεπῆεσαν οὖν τοῖς Συρακουσίοις. καὶ ὁ Γύλιππος τοὺς μὲν ὁπλίτας ἔξω τῶν τειχῶν μᾶλλον ἢ πρότερον προεξαγαγὼν ξυνέμισγεν αὐτοῖς. τοὺς δ' ἱππέας καὶ τοὺς ἀκοντιστὰς ἐκ πλαγίου τάξας τῶν Ἀθηναίων, κατὰ τὴν εὐρυχωρίαν, ᾗ τῶν τειχῶν ἀμφοτέρων αἱ ἐργα-

dum fore, niſi ipſi, qui Peloponneſii & Dorienſes eſſent, Iones & inſularum incolas & convenas homines, ſuperatos, ex ſua regione eiicere vellent.

VI. Poſtea vero, cum tempus opportunum veniſſet, eos rurſus eduxit. Nicias vero & Athenienſes, exiſtimantes ipſi quoque, quamvis initium proelii facere nollent, ſibi tamen neceſſarium eſſe, non pati murum prope aedificari. (Iam enim murus, qui ab illis Syracuſanis aedificabatur, propemodum vel ultra extremitatem muri ab Athenienſibus exſtructi proceſſerat. Qui ſi proceſſiſſet, iam duplex commodum ipſis Syracuſanis attuliſſet, ut & pugnantes aſſidue vincerent, &, ſi mallent, proelio ſuperſederent.) In aciem igitur contra Syracuſanos prodierunt. Gylippus vero, gravis armaturae militibus extra munitiones longius quam ante productis, manus cum ipſis conſeruit. Equitatum vero & velites a latere Athenienſium in loco

σίαι ἔληγον· καὶ προσβαλόντες οἱ ἱππεῖς ἐν τῇ μάχῃ τῷ εὐωνύμῳ κέρᾳ τῶν Ἀθηναίων, ὅπερ κατ' αὐτοὺς ἦν, ἔτρεψαν· καὶ δι' αὐτὸ καὶ τὸ ἄλλο στράτευμα νικηθὲν ὑπὸ τῶν Συρακουσίων, κατηράχθη ἐς τὰ τειχίσματα. καὶ τῇ ἐπιούσῃ νυκτὶ ἔφθασαν παροικοδομήσαντες, καὶ παρελθόντες τὴν τῶν Ἀθηναίων εἰκοδομίαν, ὥστε μηκέτι μήτε αὐτοὶ κωλύεσθαι ὑπ' αὐτῶν, ἐκείνους τε καὶ παντάπασιν ἀπεστερηκέναι, εἰ καὶ κρατοῖεν, μὴ ἂν ἔτι σφᾶς ἀποτειχίσαι.

Iulio exeunte, vel ineunte Auguſto.

ζ'. Μετὰ δὲ τοῦτο αἵ τε τῶν Κορινθίων νῆες καὶ Ἀμπρακιωτῶν καὶ Λευκαδίων ἐσέπλευσαν αἱ ὑπόλοιποι δώδεκα, λαθοῦσαι τὴν τῶν Ἀθηναίων φυλακήν. ἦρχε δὲ αὐτῶν Ἐρασινίδης Κορίνθιος· καὶ ξυνετείχισαν τὸ λοιπὸν τοῖς Συρακουσίοις, μέχρι τοῦ ἐγκαρσίου τείχους. καὶ ὁ

ſpatioſo collocaverat, ubi utrarumque munitionum opera deſinebant. Hic autem equitatus in ipſo proelio impreſſione facta in ſiniſtrum Athenienſium cornu, quod ipſi erat oppoſitum, id in fugam vertit. Et propterea reliquus etiam illorum exercitus, a Syracuſanis victus, in ſuas munitiones praeceps eſt compulſus. Nocte autem inſequenti murum prope munitionem Athenienſium ocius aedificarunt, ac ultra eam perduxerunt, ita ut neque ipſi ab illis amplius impediri poſſent, ne murum abſolverent, & vel omnem in poſterum ſui circumvallandi facultatem, quamvis vincerent, illis eriperent.

VII. Poſtea vero Corinthiorum & Ambraciotarum & Leucadiorum naves, quae reliquae erant, numero duodecim, clam Athenienſium cuſtodia navigarunt, & ad urbem appulerunt. Illis autem praeerat Eraſinides Corinthius. Et in reliqua muri parte aedificanda, atque uſque ad alte-

Γύλιππος ἐς τὴν ἄλλην Σικελίαν ἐπὶ στρατιάν τε ὤχετο, καὶ ναυτικὴν καὶ πεζικὴν ξυλλέξων, καὶ τῶν πόλεων ἅμα προσαξόμενος εἴτις ἢ μὴ πρόθυμος ἦν, ἢ παντάπασιν ἔτι ἀφειστήκει τοῦ πολέμου. πρέσβεις τε ἄλλοι τῶν Συρακουσίων καὶ Κορινθίων ἐς Λακεδαίμονα καὶ Κόρινθον ἀπεστάλησαν, ὅπως στρατιὰ ἔτι περαιωθῇ, τρόπῳ ὧ ἂν ἐν ὁλκάσιν, ἢ πλοίοις, ἢ ἄλλως ὅπως ἂν προχωρῇ, ὡς καὶ τῶν Ἀθηναίων ἐπιμεταπεμπομένων. οἵτε Συρακούσιοι ναυτικὸν ἐπλήρουν, καὶ ἀνεπειρῶντο, ὡς καὶ τούτῳ ἐπιχειρήσοντες, καὶ ἐς τἆλλα πολὺ ἐπέῤῥωντο.

η'. Ὁ δὲ Νικίας, αἰσθόμενος τοῦτο, καὶ ὁρῶν καθ' ἡμέραν ἐπιδιδοῦσαν τήν τε τῶν πολεμίων ἰσχὺν καὶ τὴν σφετέραν ἀπορίαν, ἔπεμπε καὶ αὐτὸς ἐς τὰς Ἀθήνας ἀγγέλλοντας, πολλάκις μὲν καὶ ἄλλοτε καθ' ἕκαστα

rum tranſverſum murum Syracuſanos adiuverunt. Gylippus autem ceteram Siciliam obivit, ut navales pedeſtreſque copias colligeret, ſimul etiam, ut civitates ad ſocietatem ſecum ineundam ſollicitaret, ſi qua aut propenſa non erat, aut a bello prorſus adhuc abſtinebat. Alii quoque Syracuſanorum & Corinthiorum legati Lacedaemonem & Corinthum miſſi fuerunt, ut novus exercitus traiiceretur, quocunque modo, ſive navibus onerariis, ſive navigiis, ſive quacunque alia ratione res commode ſuccedere poſſe videretur, quod & Athenienſes alias etiam copias arceſſerent. Et Syracuſani claſſem inſtruebant, & huius quoque rei periculum faciebant, quod hanc quoque rem aggredi ſtatuiſſent, & in ceteras res totis viribus incumbebant.

VIII. Nicias vero, cum hoc intellexiſſet, & hoſtium quidem potentiam, ſuam vero rerum omnium penuriam in dies creſcere videret, nuntios & ipſe Athenas miſit, ſae-

τῶν γιγνομένων, μάλιστα δὲ καὶ τότε, νομίζων ἐν τοῖς δεινοῖς τε εἶναι, καὶ ἢν μὴ ὡστάχιστα ἢ σφᾶς μεταπέμψωσιν, ἢ ἄλλους μὴ ὀλίγους ἀποστέλλωσιν, οὐδεμίαν εἶναι σωτηρίαν. Φοβούμενος δὲ μὴ οἱ πεμπόμενοι, ἢ κατὰ τὴν τοῦ λέγειν ἀδυνασίαν, ἢ καὶ γνώμης ἐλλιπεῖς γιγνόμενοι, ἢ τῷ ὄχλῳ πρὸς χάριν τι λέγοντες, οὐ τὰ ὄντα ἀπαγγείλωσιν, ἔγραψεν ἐπιστολήν· νομίζων εὕτως ἂν μάλιστα τὴν αὐτοῦ γνώμην, μηδὲν ἐν τῷ ἀγγέλῳ ἀξανισθεῖσαν, μαθόντας τοὺς Ἀθηναίους, βουλεύσασθαι περὶ τῆς ἀληθείας. καὶ οἱ μὲν ὤχοντο Φέροντες οὓς ἀπέστειλε τὰ γράμματα, καὶ ὅσα ἔδει αὐτοὺς εἰπεῖν. ὁ δὲ, τὰ κατὰ τὸ στρατόπεδον διὰ φυλακῆς ἤδη ἔχων, ἑκουσίων κινδύνων ἐπεμελεῖτο.

pe quidem & alias, de ſingulis rebus, quae gerebantur: ſed nunc vel maxime, quod res ſuas in maximum diſcrimen adductas eſſe, & niſi primo quoque tempore Athenienſes aut ſe revocarent, aut alios non paucos mitterent, nullam ſalutis ſpem ſupereſſe duceret. Veritus autem, ne nuntii, qui mittebantur, vel propter facundiae vel propter conſilii inopiam, vel etiam aliquid ad populi voluntatem dicentes, vera non renuntiarent, epiſtolam ſcripſit: exiſtimans fore, ut hoc modo potiſſimum ſuam ſententiam ab ipſo nuntio minime ſuppreſſam Athenienſes cognoſcerent, & de rebus veris deliberarent. Atque illi quidem, quos miſit, cum literis, quas ferebant, & cum mandatis, quae acceperant, quae ipſos exponere oportebat, abierunt. Nicias vero res caſtrenſes iam cuſtodiens, voluntariorum periculorum curam gerebat, eaque tantum, quae non ultro provocaverat, diſcrimina ſubibat.

θ'. Ἐν δὲ τῷ αὐτῷ θέρει τελευτῶντι, καὶ Εὐετίων στρατηγὸς Ἀθηναίων, μετὰ Περδίκκου στρατεύσας ἐπ' Ἀμφίπολιν Θρᾳξὶ πολλοῖς, τὴν μὲν πόλιν οὐχ εἶλεν· ἐς δὲ τὸν Στρυμόνα περικομίσας τριήρεις, ἐκ τοῦ ποταμοῦ ἐπολιόρκει, ὁρμώμενος ἐξ Ἰμεραίου. καὶ τὸ θέρος ἐτελεύτα τοῦτο.

ι'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἥκοντες ἐς τὰς Ἀθήνας οἱ παρὰ τοῦ Νικίου, ὅσα τε ἀπὸ γλώσσης εἴρητο αὐτοῖς εἶπον, καὶ εἴτις τὶ ἠρώτα ἀπεκρίνοντο· καὶ τὴν ἐπιστολὴν ἀπέδοσαν. ὁ δὲ γραμματεὺς τῆς πόλεως, παρελθὼν ἀνέγνω τοῖς Ἀθηναίοις, δηλοῦσαν τοιάδε.

ια'. Τὰ μὲν πρότερον πραχθέντα, ὦ Ἀθηναῖοι, ἐν ἄλλαις πολλαῖς ἐπιστολαῖς ἴστε· νῦν δὲ καιρὸς οὐχ ἧττον μαθόντας ὑμᾶς ἐν ᾧ ἐσμὲν βουλεύσασθαι. κρατη-

IX. Eadem autem aeſtate iam extrema, Euetion etiam Athenienſium dux, cum Perdicca multiſque Thracibus Amphipoli bellum inferens, urbem quidem non expugnavit; ſed, triremibus in Strymonem circumductis, ab ipſo fluvio urbem obſidebat, ex Imeraeo, ubi belli ſedem poſuerat, proficiſcens. Atque haec aeſtas exceſſit.

X. Hieme autem ineunte, qui a Nicia miſſi fuerant, Athenas pervenerunt, & omnia mandata, quae ab illo acceperant, expoſuerunt, & ſi quis aliquid percontabatur, reſpondebant: epiſtolamque reddiderunt. Civitatis autem ſcriba in medium progreſſus eam Athenienſibus recitavit, cuius haec erant verba.

XI. *Res quidem ante geſtas, Athenienſes, ex multis aliis meis epiſtolis cognoviſtis. Iam vero tempus poſtulat longe magis, quam ante, ut in quo ſtatu ſint res noſtrae cognoſcatis, & pro*

σάντων γὰρ ἡμῶν μάχαις ταῖς πλείοσι Συρακουσίους, ἐφ' οὓς ἐπέμφθημεν, καὶ τὰ τείχη οἰκοδομησαμένων, ἐν οἵσπερ νῦν ἐσμὲν, ἦλθε Γύλιππος Λακεδαιμόνιος, στρατιὰν ἔχων ἐκ Πελοποννήσου καὶ ἀπὸ τῶν ἐν Σικελίᾳ πόλεων ἔστιν ὧν. καὶ μάχῃ τῇ μὲν πρώτῃ νικᾶται ὑφ' ἡμῶν, τῇ δ' ὑστεραίᾳ, ἱππεῦσί τε πολλοῖς καὶ ἀκοντισταῖς βιασθέντες, ἀνεχωρήσαμεν ἐς τὰ τείχη. νῦν οὖν ἡμεῖς μὲν παυσάμενοι τοῦ περιτειχισμοῦ διὰ τὸ πλῆθος τῶν ἐναντίων, ἡσυχάζομεν. οὐδὲ γὰρ ξυμπάσῃ τῇ στρατιᾷ δυναίμεθ' ἂν χρήσασθαι, ἀπαναλωκυίας τῆς φυλακῆς τῶν τειχῶν μέρος τι τοῦ ὁπλιτικοῦ. οἱ δὲ παρῳκοδομήκασιν ἡμῖν τεῖχος ἁπλοῦν, ὥστε μὴ εἶναι ἔτι περιτειχίσαι αὐτοὺς, ἢν μή τις τὸ παρατείχισμα τοῦτο πολλῇ στρατιᾷ ἐπελθὼν ἕλῃ. ξυμβέβηκέ τε, πολιορκεῖν δοκοῦντας ἡμᾶς ἄλλους, αὐτοὺς μᾶλλον ὅσα γε κατὰ γῆν

ea, ac opus eſt, deliberetis. Cum enim Syracuſanos, adverſus quos miſſi fuimus, maiore proeliorum parte ſuperaſſemus, & munitiones exſtruxiſſemus, in quibus nunc ſumus, venit Gylippus Lacedaemonius cum exercitu, quem ex Peloponneſo duxit, & ex quibuſdam Siciliae civitatibus. Et primo quidem proelio a nobis ſuperatus eſt: poſtridie vero, ab equitum velitumque multitudine per vim coacti, in munitiones nos recepimus. Nunc igitur nos propter adverſariorum multitudinem, omiſſa urbis circumvallatione, quieſcimus. Nec enim omnibus noſtris copiis uti poſſumus, quod munitionum cuſtodia magnam gravis armaturae partem abſumat. Hoſtes vero murum ſimplicem iuxta noſtrum excitaverunt, ita ut eos amplius circumvallare nequeamus, niſi quis hanc munitionem noſtris vicinam cum magnis copiis adortus expugnet. Contigit etiam, ut nos, qui alios obſidere videbamur, ipſi potius,

τεῦτο πάσχειν. οὐδὲ γὰρ τῆς χώρας ἐπὶ πολὺ διὰ τοὺς ἱππέας ἐξερχόμεθα.

ιβ'. Πεπόμφασι δὲ καὶ ἐς Πελοπόνησον πρέσβεις ἐπ' ἄλλην στρατιάν. καὶ ἐς τὰς ἐν Σικελίᾳ πόλεις Γύλιππος οἴχεται, τὰς μὲν καὶ πείσων ξυμπολεμεῖν, ὅσαι νῦν ἡσυχάζουσιν, ἀπὸ δὲ τῶν ἔτι καὶ στρατιὰν πεζὴν καὶ ναυτικοῦ παρασκευήν, ἢν δύνηται, ἄξων. διανοοῦνται γὰρ (ὡς ἐγὼ πυνθάνομαι) τῷ τε πεζῷ ἅμα τῶν τειχῶν ἡμῶν πειρᾶν, καὶ ταῖς ναυσὶ κατὰ θάλασσαν. καὶ δεινὸν μηδενὶ ὑμῶν δόξῃ εἶναι ὅτι καὶ κατὰ θάλασσαν. τὸ γὰρ ναυτικὸν ἡμῶν (ὅπερ κἀκεῖνοι πυνθάνονται) τὸ μὲν πρῶτον ἤκμαζε, καὶ τῶν νεῶν τῇ ξηρότητι, καὶ τῶν πληρωμάτων τῇ σωτηρίᾳ· νῦν δὲ αἵ τε νῆες διάβροχοι, τοσοῦτον χρόνον ἤδη θαλασσεύουσαι, καὶ τὰ πληρώματα ἔφθαρται· τὰς μὲν γὰρ ναῦς οὐκ ἔστιν ἀνελκύσαντας

ſaltem quod ad terram attinet, hoc patiamur. Nec enim propter hoſtium equitatum procul per regionem progredimur.

XII. *Praeterea legatos in Peloponneſum miſerunt ad alias copias arceſſendas. Et Gylippus ad urbes Siciliae proficiſcitur, ut earum alias quidem ad belli ſocietatem pelliciat, quotquot nunc quieſcunt; ex aliis vero praeterea pedeſtres navaleſque copias, ſi poſſit, adducat. Nam (ut ego audio) peditatu a terra, pariter & claſſe a mari noſtras munitiones tentare ſtatuerunt. Neque cuiquam veſtrûm hoc arduum eſſe videatur, quod etiam a mari nos aggredi ſtatuerint. Nam noſtra claſſis (quod & illi cognitum habent) initio quidem & navium ſiccitate, & hominum, qui in illis erant, incolumitate florebat. Iam vero & naves, quod tamdiu iam ſub dio & in mari manſerint, ſunt putrefactae, & viri, qui eas explebant, ſunt abſumti. Naves enim nobis ſubducere non licet, ut recreemus; quod hoſtium naves, quae noſtris*

διαψύξαι, διὰ τὸ ἀντιπάλους καὶ τῷ πλήθει, καὶ ἐπιπλείους τὰς τῶν πολεμίων οὔσας, ἀεὶ προσδοκίαν παρέχειν ὡς ἐπιπλεύσονται. Φανεραὶ δέ εἰσιν ἀποπειρώμεναι· καὶ αἱ ἐπιχειρήσεις ἐπ' ἐκείνοις, καὶ ἀποξηρᾶναι τὰς σφετέρας μᾶλλον ἐξουσία· οὐ γὰρ ἐφορμοῦσιν ἀλλήλοις.

ιγ'. Ἡμῖν δ' ἐκ πολλῆς ἂν περιουσίας νεῶν μόλις τοῦτο ὑπῆρχε, καὶ μὴ ἀναγκαζομένοις ὥσπερ νῦν πάσαις φυλάσσειν. εἰ γὰρ ἀφαιρήσομέν τι καὶ βραχὺ τῆς τηρήσεως, τὰ ἐπιτήδεια οὐχ ἕξομεν, παρὰ τὴν ἐκείνων πόλιν χαλεπῶς καὶ νῦν ἐσκομιζόμενοι. τὰ δὲ πληρώματα διὰ τόδε ἐφθάρη τε ἡμῖν, καὶ ἔτι νῦν φθείρεται, τῶν ναυτῶν τῶν μέν, διὰ φρυγανισμὸν, καὶ ἁρπαγὴν μακρὰν, καὶ ὑδρείαν, ὑπὸ τῶν ἱππέων ἀπολλυμένων· οἱ δὲ θεραπεύοντες, ἐπειδὴ ἐς ἀντίπαλα καθεστήκαμεν,

sint numero pares, atque adeo plures, perpetuo suspicionem nobis afferant, quod iamiam nos sint invasurae. Non dubium autem, illos huius rei periculum fallturos esse. Et hostis invadendi facultas penes illos est, & suas naves commodius exsiccare possunt. Nec enim stationes adversus alios habent.

XIII. *Nobis vero, quamvis magno navium numero abundaremus, vix tamen hoc facere liceret, ne dum, ut nunc, excubias cum tota classe agere coactis. Nam si vel modicam custodiae partem detrahamus, nullos commeatus habebimus, quos nunc quoque iuxta illorum urbem praetervecti aegre in castra importamus. Homines vero nautici hac de causa & ante cum nostra iactura perierunt, & nunc etiam pereunt; quod nautae quidem, quia procul a castris lignari, praedari, & aquari coguntur, ab hostium equitatu excepti caedantur: servitia vero, quia castra castris opposita habemus, transfugiant. Peregrinorum quoque illi quidem,*

αὐτομολοῦσι. καὶ οἱ ξένοι, οἱ μὲν ἀναγκαστοὶ ἐσβάντες, εὐθὺς κατὰ τὰς πόλεις ἀποχωροῦσιν. οἱ δὲ ὑπὸ μεγάλου μισθοῦ τοπρῶτον ἐπαρθέντες, καὶ οἰόμενοι χρηματιεῖσθαι μᾶλλον ἢ μαχεῖσθαι, ἐπειδὴ παρὰ γνώμην ναυτικόν τε δὴ καὶ τἄλλα ἀπὸ τῶν πολεμίων ἀνθεστῶτα ὁρῶσιν, οἱ μὲν ἐπ' αὐτομολίας προφάσει ἀπέρχονται, οἱ δὲ, ὡς ἕκαστοι δύνανται· (πολλὴ δ' ἡ Σικελία) εἰσὶ δ' οἳ καὶ αὐτοῦ ἐμπορευόμενοι, ἀνδράποδα Ὑκκαρικὰ ἀντεμβιβάσαι ὑπὲρ σφῶν πείσαντες τοὺς τριηράρχους, τὴν ἀκρίβειαν τοῦ ναυτικοῦ ἀφῆρηνται.

ιδ'. Ἐπισταμένοις δ' ὑμῖν γράφω ὅτι βραχεῖα ἀκμὴ πληρώματος, καὶ ὀλίγοι τῶν ναυτῶν οἱ ἐξορμῶντές τε ναῦν, καὶ ξυνέχοντες τὴν εἰρεσίαν. τούτων δὲ πάντων ἀπορώτατον, τό, τε μὴ οἷόν τε εἶναι ταῦτα ἐμοὶ κωλῦσαι τῷ στρατηγῷ, (χαλεπαὶ γὰρ αἱ ὑμέτεραι φύσεις ἄρξαι)

qui coacti naves conſcenderunt, in urbes continuo diſlabuntur. Illi vero, qui mercedis magnitudine primum allecti venerant, & qui, ſe quaeſtum potius facturos, quam pugnaturos, arbitrabantur, ubi praeter opinionem viderunt & hoſtium claſſem, & ceteras res iam nobis oppoſitas, partim quidem occaſionem nacti ad hoſtes transfugiunt, partim vero, prout ſingulis facultas offertur, abeunt: (Sicilia autem eſt ampla) quidam etiam hic Hyccarica mancipia mercati, trierarchis perſuaſerunt, ut illa pro ſe in naves imponerent, atque hoc modo exactam rei nauticae diſciplinam ſuſtulerunt.

XIV. *Vobis autem, qui hoc probe noſtis, ſcribo, non diuturnum eſſe claſſiariae multitudinis vigorem, paucoſque nautas reperiri, qui & navem agere & remigium moderari norint. Sed horum omnium incommodorum hoc eſt maximum, tum quod ego imperator haec mala prohibere non poſſim, (nam veſtra ingenia, Athenienſes, non facile reguntur) tum etiam quòd non*

καὶ ὅτι οὐδ' ὁπόθεν ἐπιπληρωσόμεθα τὰς ναῦς ἔχομεν· (ὃ τοῖς πολεμίοις πολλαχόθεν ὑπάρχει) ἀλλ' ἀνάγκη ἀφ' ὧν ἔχοντες ἤλθομεν, τά τε ὄντα καὶ ἀπαναλισκόμενα γίγνεσθαι. αἱ γὰρ νῦν οὖσαι πόλεις ξύμμαχοι, ἀδύνατοι, Νάξος καὶ Κατάνη. εἰ δὲ προσγενήσεται ἓν ἔτι τοῖς πολεμίοις, ὥστε τὰ τρέφοντα ἡμᾶς χωρία τῆς Ἰταλίας, ὁρῶντα ἐν ᾧ τε ἐσμὲν, καὶ ὑμῶν μὴ ἐπιβοηθούντων, πρὸς ἐκείνους χωρῆσαι, διαπολεμήσεται αὐτοῖς ἀμαχεὶ ἐκπολιορκηθέντων ἡμῶν ὁ πόλεμος. τούτων ἐγὼ ἡδίω μὲν ἂν εἶχον ὑμῖν ἕτερα ἐπιστέλλειν, οὐ μέντοι χρησιμώτερά γε, εἰ δεῖ σαφῶς ὑμᾶς εἰδότας τὰ ἐνθάδε βουλεύσασθαι. καὶ ἅμα, τὰς φύσεις ἐπιστάμενος ὑμῶν, βουλομένων μὲν τὰ ἥδιστα ἀκούειν, αἰτιωμένων δὲ ὕστερον ἤν τι ὑμῖν ἀπ' αὐτῶν μὴ ὅμοιον

habeamus, unde navium ſupplementum parare poſſimus, (id quod hoſti multis ex locis facere licet) ſed neceſſe ſit ſupplementum illinc parari, unde, quando huc venimus, & ea, quae nunc ſuperſunt, & ea, quae iam abſumta ſunt, accepimus. Civitates enim, quae nunc nobis ſunt ſociae, Naxus & Catana, copias nobis ſuppeditare nequeunt. Quod ſi hoc unum praeterea hoſtibus acceſſerit, ut Italiae oppida, quae nos alunt, cognito rerum ſtatu, in quo ſumus, vobiſque nullum auxilium ad nos mittentibus, ſe illis adiungant; profecto, nobis ſine proelio expugnatis, bellum ab ipſis conficietur. His autem ego iucundiora quidem vobis ſcribere potuiſſem, ſed tamen non utiliora; quia neceſſe eſt, vos manifeſte cognoſcere rerum iſtarum ſtatum, ut de his conſultetis. ſimul etiam (quia veſtra ingenia probe nota habeam,) quod iucundiſſima quidem audire vultis, poſtea vero conquerimini, ſi quid ex his, quae audieritis, vobis non contigerit

ἐμβῇ· ἀσφαλέστερον ἡγησάμην τὸ ἀληθὲς δηλῶσαι.

ιε'. Καὶ νῦν ὡς ἐφ' ἃ μὲν ἤλθομεν τοπρῶτον, καὶ τῶν στρατιωτῶν καὶ τῶν ἡγεμόνων ὑμῖν μὴ μεμπτῶν γεγενημένων, οὕτω τὴν γνώμην ἔχετε. ἐπειδὴ δὲ ἡ Σικελία τε ἅπασα ξυνίσταται, καὶ ἐκ Πελοποννήσου ἄλλη στρατιὰ προσδόκιμος αὐτοῖς, βουλεύεσθε ἤδη ὡς τῶν γ' ἐνθάδε μηδὲ τοῖς παροῦσιν αὐταρκούντων, ἀλλ' ἢ τούτους μεταπέμπειν δέον, ἢ ἄλλην στρατιὰν μὴ ἐλάττω ἐπιπέμπειν, καὶ πεζὴν καὶ ναυτικὴν, καὶ χρήματα μὴ ὀλίγα· ἐμοὶ δὲ διαδοχόν τινα, ὡς ἀδύνατός εἰμι διὰ νόσον νεφρῖτιν παραμένειν. ἀξιῶ δ' ὑμῶν ξυγγνώμης τυγχάνειν. καὶ γὰρ ὅτ' ἐρρώμην, πολλὰ ἐν ἡγεμονίαις ὑμᾶς εὖ ἐποίησα. ὅ, τι δὲ μέλλετε, ἅμα τῷ ἦρι εὐθὺς καὶ μὴ ἐς ἀναβολὰς πράττετε· ὡς τῶν πολεμίων τὰ μὲν ἐν Σικελίᾳ δι' ὀλίγου πορισυμένων, τὰ δ' ἐκ Πελοποννήσου,

perinde ac optabatis) tutius eſſe duxi declarare, quod verum eſt.

XV. *Iam vero hoc quidem perſuaſum habeatis, & milites & duces ſe ita geſſiſſe adverſus eos, adverſus quos primum venimus, ut a vobis reprehendi nequeant. Verum quia nunc & univerſa Sicilia contra nos conſpirat, & alius exercitus ex Peloponneſo ab ipſis exſpectatur, decernatis iam, aut eos, qui hic ſunt, revocandos eſſe, quod ne adverſus quidem praeſentes hoſtes ſatis virium habeant, aut alium & pedeſtrem & navalem exercitum hoc non minorem huc praeterea mittendum, pecuniam etiam non paucam: mihi vero ſucceſſorem aliquem, quia ex renibus laborans in imperio permanere nequeo. Dignus autem ſum, qui veniam a vobis impetrem. Etenim cum recte valerem, obeundis imperatoris muneribus ſaepe de vobis bene ſum meritus. Quidquid autem facturi eſtis, id ineunte ſtatim vere, nec ulla procraſtinatione utentes faciatis: quia hoſtes brevi res quidem Siculas comparabunt, quae*

σχολαίτερον μὲν, ὅμως δ' ἢν μὴ προσέχητε τὴν γνώμην, τὰ μὲν, λήσουσιν ὑμᾶς, ὥσπερ καὶ πρότερον, τὰ δὲ, φθήσονται.

ισ'. Ἡ μὲν τοῦ Νικίου ἐπιστολὴ τοσαῦτα ἐδήλου· οἱ δὲ Ἀθηναῖοι, ἀκούσαντες αὐτῆς, τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆς, ἀλλ' αὐτῷ, ἕως ἂν ἕτεροι [αἱρεθέντες] ξυνάρχοντες ἀφίκωνται, τῶν αὐτοῦ ἐκεῖ δύο προσείλεντο, Μένανδρον καὶ Εὐθύδημον· ὅπως μὴ μόνος ἐν ἀσθενείᾳ ταλαιπωροίη. στρατιὰν δὲ ἄλλην ἐψηφίσαντο πέμπειν καὶ ναυτικὴν καὶ πεζικὴν, Ἀθηναίων τε ἐκ καταλόγου, καὶ τῶν ξυμμάχων. καὶ ξυνάρχοντας αὐτῷ εἵλεντο Δημοσθένην τε τὸν Ἀλκισθένους καὶ Εὐρυμέδοντα τὸν Θευκλέους· καὶ τὸν μὲν Εὐρυμέδοντα εὐθὺς περὶ ἡλίου τροπὰς τὰς χειμερινὰς ἀποπέμπουσιν ἐς τὴν Σικελίαν, μετὰ δέκα νεῶν, ἄγοντα εἴκοσι τάλαντα

Fine Decembris.

vero ex Peloponneſo tardius quidem; ſed tamen niſi animum ad eas advertatis, partim quidem (ut & ante) vos latebunt, partim vero vos praevertent.

XVI. Haec igitur ſunt, quae Niciae epiſtola declaravit. Athenienſes vero, his auditis, ipſi quidem imperium non abrogarunt: ſed, donec alii collegae delecti ad eum pervenirent, duos eorum, Menandrum & Euthydemum, qui illic cum ipſo erant, delectos ipſi adiunxerunt, ne ſolus infirma valetudine vexaretur. Alium etiam exercitum cenſuere mittendum, & nauticarum & pedeſtrium copiarum, tam ex Athenienſium legionariis militibus, quam ex ſociis. Et Demoſthenem Alciſthenis, Eurymedontem Theuclis filium, collegas delectos ipſi miſerunt. Atque Eurymedontem quidem ſtatim circa ſolſtitium hibernum in Siciliam miſerunt cum decem navibus, & cum viginti argenti ta-

ἀργυρίου, καὶ ἅμα ἀγγελοῦντα τοῖς ἐκεῖ ὅτι ἥξει βοήθεια, καὶ ἐπιμέλεια αὐτῶν ἔσται.

ιζ'. Ὁ δὲ Δημοσθένης, ὑπομένων παρεσκευάζετο τὸν ἔκπλουν, ὡς ἅμα τῷ ἦρι ποιησόμενος· στρατιάν τε ἐπαγγέλλων ἐς τοὺς ξυμμάχους, καὶ χρήματα αὐτόθεν καὶ ναῦς καὶ ὁπλίτας ἑτοιμάζων. πέμπουσι δὲ καὶ περὶ τὴν Πελοπόννησον οἱ Ἀθηναῖοι εἴκοσι ναῦς, ὅπως φυλάσσοιεν μηδένα ἀπὸ Κορίνθου καὶ τῆς Πελοποννήσου ἐς τὴν Σικελίαν περαιοῦσθαι. οἱ γὰρ Κορίνθιοι, ὡς οἵ τε πρέσβεις αὐτοῖς ἦκον, καὶ τὰ ἐν τῇ Σικελίᾳ βελτίω ἤγγελλον, νομίσαντες οὐκ ἄκαιρον καὶ τὴν προτέραν πέμψιν τῶν νεῶν ποιήσασθαι, πολλῷ μᾶλλον ἐπέρρωντο, καὶ ἐν ὅπλοις παρεσκευάζοντο, αὐτοί τε ἀποστελοῦντες ὁπλίτας ἐν τῇ Σικελίᾳ, καὶ ἐκ τῆς ἄλλης Πελοποννήσου οἱ

Bell. Pelop. an. 18. Olymp. 91. 3. U. C. Varr. 311. Inter Ian. t. & Mart. 18.

lentis, quae ſecum ferebat; ſimul etiam, ut illis, qui illic erant, auxilium venturum, ipſoſque civitati curae futuros, nuntiaret.

XVII. Demoſthenes vero ad adornandam profectionem remanſit, ut primo ſtatim vere diſcederet; & ad indicendum ſociis delectum, & ad comparandas illinc pecunias, naves, & gravis armaturae milites. Praeterea Athenienſes mittunt circa Peloponneſum viginti naves, ut obſervarent, ne quis e Corintho & ex Peloponneſo traiiceret in Siciliam. Nam Corinthii, poſtquam legati ad ipſos venerunt, & res in Sicilia meliore conditione eſſe nuntiaverunt, exiſtimantes, & priorem claſſem non intempeſtive a ſe miſſam fuiſſe, multo magis animo confirmati ſunt, & cum ipſi ad gravis armaturae milites in onerariis navibus in Siciliam mittendos ſeſe accingebant, tum etiam Lacedaemonii ad copias eodem modo ex cetera Peloponneſo

Λακεδαιμόνιοι τῷ αὐτῷ τρόπῳ πέμψοντες. ναῦς τε οἱ Κορίνθιοι πέντε καὶ εἴκοσιν ἐπλήρουν, ὅπως ναυμαχίας τε ἀποπειράσωσι πρὸς τὴν ἐν τῇ Ναυπάκτῳ φυλακὴν, καὶ τὰς ὁλκάδας αὐτῶν ἧσσον οἱ ἐν τῇ Ναυπάκτῳ Ἀθηναῖοι κωλύοιεν ἀπαίρειν, πρὸς τὴν σφετέραν ἀντίταξιν τῶν τριηρῶν τὴν φυλακὴν ποιούμενοι.

ιή. Παρεσκευάζοντο δὲ καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν οἱ Λακεδαιμόνιοι, ὥσπερ τε προεδέδοκτο αὐτοῖς, καὶ τῶν Συρακουσίων καὶ τῶν Κορινθίων ἐναγόντων, ἐπειδὴ ἐπυνθάνοντο τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν ἐς τὴν Σικελίαν, ὅπως δὴ ἐσβολῆς γενομένης διακωλυθῇ. καὶ ὁ Ἀλκιβιάδης προσκείμενος, ἐδίδασκε τὴν Δεκέλειαν τειχίζειν, καὶ μὴ ἀνιέναι τὸν πόλεμον. μάλιστα δὲ τοῖς Λακεδαιμονίοις ἐγεγένητό τις ῥώμη, διότι τοὺς Ἀθηναίους ἐνόμιζον διπλοῦν τὸν πόλεμον ἔχοντας, πρός τε σφᾶς καὶ Σικε-

mittendas ſeſe praeparabant. Et Corinthii viginti quinque naves inſtruxerunt, ut pugnam navalem experirentur adverſus ſpeculatorias illas, quae ſtabant ad Naupactum; utque Athenienſes, qui Naupacti erant, onerariarum ipſorum navium profectionem minus impedirent, utpote ſuarum navium praeſidio adverſus illorum triremes, quae ſe opponebant, ſe ipſos tuentes.

XVIII. Lacedaemonii vero (prout etiam ante ſecum ipſi conſtituerant) expeditionem in Atticam apparabant, inſtigantibus Syracuſanis atque Corinthiis, poſtquam audierunt, auxilium ab Athenienſibus in Siciliam mitti, ut irruptione facta impediretur. Quin etiam Alcibiades inſtans, illos docebat, Deceleam muniendam eſſe, nec bellum remittendum. Praecipue vero quoddam animi robur Lacedaemoniis acceſſit, quod exiſtimarent, Athenienſes, qui du-

λιώτας, εὐκαθαιρετωτέρους ἔσεσθαι· καὶ ὅτι τὰς σπονδὰς προτέρους λελυκέναι ἡγοῦντο αὐτούς. ἐν γὰρ τῷ προτέρῳ πολέμῳ σφέτερον τὸ παρανόμημα μᾶλλον γενέσθαι, ὅτι ἐς Πλάταιαν ἦλθον Θηβαῖοι ἐν σπονδαῖς. καὶ εἰρημένον ἐν ταῖς πρότερον ξυνθήκαις, ὅπλα μὴ ἐπιφέρειν, ἢν δίκας θέλωσι διδόναι, αὐτοὶ οὐχ ὑπήκουον ἐς δίκας προκαλουμένων τῶν Ἀθηναίων· καὶ διὰ τοῦτο δυστυχεῖν τε εἰκότως ἐνόμιζον, καὶ ἐνεθυμοῦντο τήν τε περὶ Πύλον ξυμφορὰν, καὶ εἴτις ἄλλη αὐτοῖς γένοιτο. ἐπειδὴ δὲ οἱ Ἀθηναῖοι ταῖς τριάκοντα ναυσὶν ὁρμώμενοι, Ἐπιδαύρου τέ καὶ Πρασιῶν καὶ ἄλλα ἐδήωσαν, καὶ ἐκ Πύλου ἅμα ἐληστεύοντο· καὶ ὁσάκις περί του διαφοραὶ γένοιντο τῶν κατὰ τὰς σπονδὰς ἀμφισβητουμένων, ἐς δίκας προκαλουμένων τῶν Λακεδαιμονίων, οὐκ ἤθελον ἐπιτρέπειν·

plex bellum gerebant, contra ſe & Sicilienſes, a ſe facilius debellatum iri: praeterea quod ipſos priores foedera fregiſſe ducerent. Nam in ſuperiore bello a ſe potius peccatum fuiſſe, quod Thebani foederum tempore Plataeam invaſiſſent. Et, cum in prioribus pactionibus cautum fuiſſet, ne arma inferrentur illis, qui iniuriam alteris feciſſent, ſi iudicium ſubire vellent, ipſi ad iudicium ab Athenienſibus provocati, venire noluiſſent. Et propterea ſe merito adverſa fortuna uſos exiſtimabant; & cum illam cladem, quam ad Pylum acceperant, tum etiam aliam, ſi qua alia ipſis contigerat, animo volutantes religioni vertebant. At poſtquam Athenienſes cum triginta navibus ex Attica profecti, agri Epidaurii partem, & Praſiarum, & alia loca vaſtarunt, ſimul etiam & Pylo prodeuntes latrocinia exercebant, &, quoties orta eſſet controverſia de aliqua conditionum, quae in foederibus erant dubiae, ad

τότε δὴ οἱ Λακεδαιμόνιοι νομίσαντες τὸ παρανόμημα ὅπερ καὶ σφίσι πρότερον ἡμάρτητο, αὖθις ἐς τοὺς Ἀθηναίους τὸ αὐτὸ περιεστάναι, πρόθυμοι ἦσαν ἐς τὸν πόλεμον. καὶ ἐν τῷ χειμῶνι τούτῳ σίδηρόν τε περιήγγελλον κατὰ τοὺς ξυμμάχους, καὶ τὰ ἄλλα ἐργαλεῖα ἡτοίμαζον ἐς τὸν ἐπιτειχισμόν. καὶ τοῖς ἐν τῇ Σικελίᾳ ἅμα ὡς ἀποπέμψοντες ἐν ταῖς ὁλκάσιν ἐπικουρίαν, αὐτοί τε ἐπόριζον καὶ τοὺς ἄλλους Πελοποννησίους προσηνάγκαζον. καὶ ὁ χειμὼν ἐτελεύτα· καὶ ὄγδοον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

Bell. Pelop. an. 19. Olymp. 91. 3/4. U. C. Varr. 24. 1/2. a Mart. 18.

ιθ'. Τοῦ δ' ἐπιγιγνομένου ἦρος εὐθὺς ἀρχομένου, πρωϊαίτατα δὴ οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐς τὴν Ἀττικὴν ἐσέβαλον. ἡγεῖτο δὲ Ἄγις ὁ Ἀρχιδάμου Λακεδαιμονίων βασιλεύς. καὶ πρῶτον μὲν τῆς χώρας

iudicium a Lacedaemoniis provocati, rem controverſam iudicio permittere nolebant: tunc vero Lacedaemonii, exiſtimantes, ſuum illud peccatum, quod prius commiſerant, idem in Athenienſes iam recidiſſe, ad bellum animis erant propenſis. Atque nuntiis ad ſocios hac hieme circumminiſſis ferrum ipſis imperarunt, & cetera inſtrumenta ad murorum exſtructionem praepararunt. Simul autem & ipſi parabant, & ceteros Peloponneſios ad idem faciendum adigebant, ut illis, qui erant in Sicilia, auxilium in onerariis navibus mitterent. Atque haec hiems exiit, & huius belli, quod Thucydides conſcripſit, duodeviceſimus annus exceſſit.

XIX. Veris autem inſequentis initio ſtatim, Lacedaemonii ſociique irruptionem in Atticam maturrime fecerunt. Illos vero ducebat Agis Archidami filius, Lacedaemoniorum rex. Ac primum quidem agri planitiem circumiacen-

τὰ περὶ τὸ πεδίον ἐδήωσαν, ἔπειτα Δεκέλειαν ἐτείχιζον, κατὰ πόλεις διελόμενοι τὸ ἔργον. ἀπέχει δὲ ἡ Δεκέλεια σταδίους μάλιστα τῆς τῶν Ἀθηναίων πόλεως εἴκοσι καὶ ἑκατόν· παραπλήσιον δὲ οὐ πολλῷ πλέον καὶ ἐπὶ τῆς Βοιωτίας. ἐπὶ δὲ τῷ πεδίῳ καὶ τῆς χώρας τοῖς κρατίστοις ἐς τὸ κακουργεῖν ᾠκοδομεῖτο τὸ τεῖχος, ἐπιφανὲς μέχρι τῆς τῶν Ἀθηναίων πόλεως. καὶ οἱ μὲν ἐν τῇ Ἀττικῇ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐτείχιζον, εἰ δ' ἐν τῇ Πελοποννήσῳ ἀπέστελλον περὶ τὸν αὐτὸν χρόνον ταῖς ὁλκάσι τοὺς ὁπλίτας ἐς τὴν Σικελίαν. Λακεδαιμόνιοι μὲν, τῶν τε Εἱλώτων ἐπιλεξάμενοι τοὺς βελτίστους, καὶ τῶν Νεοδαμωδῶν ξυναμφοτέρων ἑξακοσίους ὁπλίτας, καὶ Ἔκκριτον Σπαρτιάτην ἄρχοντα· Βοιωτοὶ δὲ, τριακοσίους ὁπλίτας, ὧν ἦρχον Ξένων τε καὶ Νίκων, Θηβαῖοι,

tem vaſtarunt, deinde vero Deceleam munire coeperunt, id opus inter civitates partiti. Abeſt autem Decelea ab Athenis circiter centum ac viginti ſtadiis; tantundem etiam, nec multo plus a Boeotia. Haec autem munitio, Athenas uſque conſpicua, in planitie, & illius regionis opportuniſſimis ad maleficia exercenda locis exſtruebatur. Atque Peloponneſii quidem, ac ſocii, qui in Attica erant, hanc munitionem exſtruebant. Qui vero in Peloponneſo erant, gravis armaturae milites, onerariis navibus vectos, in Siciliam ſub id tempus miſerunt. Atque Lacedaemonii quidem praeſtantiſſimos quoſque ſervorum ac libertorum in civitatem nuper adſcriptorum, ex utriſque promiſcue ſexcentos gravis armaturae milites, delegerunt; & Eccritum, ducem Spartanum, illuc miſerunt. Boeoti vero, trecentos gravis armaturae milites, quibus praeerant Xenon & Ni-

καὶ Ἡγήσανδρος Θεσπιεύς. οὗτοι μὲν οὖν ἐν τοῖς πρώτοις ὁρμήσαντες ἀπὸ τοῦ Ταινάρου τῆς Λακωνικῆς, ἐς τὸ πέλαγος ἀζήκαν. μετὰ δὲ τούτους Κορίνθιοι οὐ πολλῷ ὕστερον πενταχοσίους ὁπλίτας, τοὺς μὲν, ἐξ αὐτῆς Κορίνθου, τοὺς δὲ, προσμισθωσάμενοι Ἀρκάδων, καὶ ἄρχοντα Ἀλέξαρχον Κορίνθιον προστάξαντες, ἀπέπεμψαν. ἀπέστειλαν δὲ καὶ Σικυώνιοι διακοσίους ὁπλίτας ὁμοῦ τοῖς Κορινθίοις, ὧν ἦρχε Σαργεὺς Σικυώνιος. αἱ δὲ πέντε καὶ εἴκοσι νῆες τῶν Κορινθίων αἱ τοῦ χειμῶνος πληρωθεῖσαι ἀνθώρμουν ταῖς ἐν τῇ Ναυπάκτῳ εἴκοσιν Ἀττικαῖς, ἕωσπερ αὐτοῖς οἱ ὁπλῖται ταῖς ὁλκάσιν ἀπὸ τῆς Πελοποννήσου ἀπῆραν· οὗπερ ἕνεκα καὶ τοπρότερον ἐπληρώθησαν, ὅπως μὴ οἱ Ἀθηναῖοι πρὸς τὰς ὁλκάδας μᾶλλον ἢ πρὸς τὰς τριήρεις νοῦν ἔχωσιν.

con, Thebani, & Hegeſander Theſpienſis. Iſti igitur inter primos a Taenaro Laconicae profecti, in altum vela fecerunt. Poſt horum autem diſceſſum, Corinthii non multo poſt miſerunt quingentos gravis armaturae milites, partim quidem ex ipſa Corintho, partim vero ex Arcadibus mercede conductos, & Alexarchum Corinthium, quem ipſis ducem praefecerunt. Sicyonii quoque cum Corinthiis ducentos gravis armaturae milites miſerunt, quibus praeerat Sargeus Sicyonius. Illae autem quinque & viginti Corinthiorum naves, quae per hiemem inſtructae fuerant, e regione viginti Atticarum navium, quae ad Naupactum ſtabant, in ſtatione manſerunt, donec iſti gravis armaturae milites, qui navibus onerariis ex Peloponneſo vehebantur, tranſiſſent: cuius etiam rei cauſa triremes iſtae prius fuerant inſtructae, ne Athenienſes ad onerarias naves potius, quam ad triremes, animum adverterent.

κ'. Ἐν δὲ τούτῳ καὶ οἱ Ἀθηναῖοι, ἅμα Δεκελείας τῷ τειχισμῷ, καὶ τοῦ ἦρος εὐθὺς ἀρχομένου, περὶ Πελοπόννησον ναῦς τριάκοντα ἔστειλαν, καὶ Χαρικλέα τὸν Ἀπολλοδώρου ἄρχοντα· ᾧ εἴρητο, καὶ ἐς Ἄργος ἀφικομένῳ, κατὰ τὸ ξυμμαχικὸν παρακαλεῖν Ἀργείων τε ὁπλίτας ἐπὶ τὰς ναῦς. καὶ τὸν Δημοσθένην ἐς τὴν Σικελίαν (ὥσπερ ἔμελλεν) ἀπέστελλον, ἐξήκοντα μὲν ναυσὶν Ἀθηναίων, καὶ πέντε Χίαις, ὁπλίταις δὲ ἐκ καταλόγου Ἀθηναίων διακοσίοις καὶ χιλίοις, καὶ νησιωτῶν ὅσοις ἐκασταχόθεν οἷόν τ' ἦν πλείστοις χρήσασθαι· καὶ ἐκ τῶν ἄλλων ξυμμάχων τῶν ὑπηκόων εἴποθέν τι εἶχον ἐπιτήδειον ἐς τὸν πόλεμον, ξυμπορίσαντες. εἴρητο δ' αὐτῷ, πρῶτον μετὰ τοῦ Χαρικλέους ἅμα περιπλέοντα ξυστρατεύεσθαι περὶ τὴν Λακωνικήν. καὶ ὁ μὲν Δημοσθένης ἐς τὴν Αἴγιναν προσπλεύσας, τοῦ στρατεύμα-

XX. Interea vero, dum Decelea muniretur, veris initio ſtatim, & ipſi Athenienſes circa Peloponneſum triginta naves, duce Charicle Apollodori filio, miſerunt. Cui mandatum fuerat, ut & Argos profectus, ex iure ſocietatis Argivos ad naves militibus armatis explendas hortaretur. Item Demoſthenem (quemadmodum ſtatuerant) in Siciliam miſerunt, cum ſexaginta navibus Athenienſium, & quinque Chiorum, quae mille & ducentos legionarios Athenienſium milites armatos ferebant, & ex inſularum incolis quam potuerant undique plurimos contrahere, & ex aliis ſuae ditionis ſociis, ſicunde aliquid ad rem militarem idoneum comparare potuerant. Ipſi autem praeceptum fuerat, ut primum copiis cum Chariclis exercitu coniunctis, ſimul oram Laconicam circumvectus infeſtaret. Et Demoſthenes quidem in Aeginam profectus, ibi ſuarum co-

τός τε ἔτι ὑπελείπετο περιέμενε, καὶ τὸν Χαρικλέα τοὺς Ἀργείους παραλαβεῖν.

κα'. Ἐν δὲ τῇ Σικελίᾳ, ὑπὸ τοὺς αὐτοὺς χρόνους τοῦ ἦρος τούτου, καὶ ὁ Γύλιππος ἦκεν ἐς τὰς Συρακούσας, ἄγων ἀπὸ τῶν πόλεων ὧν ἔπεισε, στρατιὰν ὅσην ἐκασταχόθεν πλείστην ἐδύνατο· καὶ ξυγκαλέσας τοὺς Συρακουσίους, ἔφη χρῆναι πληροῦν ναῦς ὡς δύνανται πλείστας, καὶ ναυμαχίας ἀπόπειραν λαμβάνειν. ἐλπίζειν γὰρ ἀπ' αὐτοῦ τι ἔργον ἄξιον τοῦ κινδύνου ἐς τὸν πόλεμον κατεργάσεσθαι. ξυνανέπειθε δὲ καὶ ὁ Ἑρμοκράτης οὐχ ἥκιστα τοῦ ταῖς ναυσὶ μὴ ἀθυμεῖν ἐπιχειρήσειν πρὸς τοὺς Ἀθηναίους, λέγων οὐδὲ ἐκείνους πάτριον τὴν ἐμπειρίαν οὐδὲ ἀίδιον τῆς θαλάσσης ἔχειν, ἀλλ' ἠπειρώτας μᾶλλον τῶν Συρακουσίων ὄντας, καὶ ἀναγκασθέντας ὑπὸ Μήδων ναυτικοὺς γενέσθαι· καὶ πρὸς ἄνδρας τολ-

piarum reliquias, ſi quae erant, & Chariclem, donec Argivos aſſumſiſſet, opperiebatur.

XXI. In Sicilia vero, per eadem huius veris tempora, & Gylippus Syracuſas rediit, adducens ex civitatibus, quibus perſuaſerat, ut auxilium Syracuſanis mitterent, exercitum quam potuerat undique maximum. Convocatis autem Syracuſanis, dixit, quam plurimas poſſent naves armandas eſſe, pugnaeque navalis periculum eſſe faciendum. Se enim ſperare, ſi hoc tentarent, in hoc bello facinus aliquod iſto periculo dignum edituros. Quin etiam Hermocrates potiſſimum, una cum Gylippo Syracuſanos hortabatur, ne res navales adverſus Athenienſes aggredi dubitarent: dicens, ne illos quidem hanc rerum nauticarum peritiam hereditariam aut perpetuam habere, ſed mediterraneos eſſe magis, quam Syracuſanos, & a Medis coa-

μηροὺς, οἵους καὶ Ἀθηναίους, τοὺς ἀντιτολμῶντας, χαλεπωτάτους [ἂν] αὐτοῖς φαίνεσθαι. ᾧ γὰρ ἐκεῖνοι τοὺς πέλας, οὐ δυνάμει ἔστιν ὅτε προὔχοντες, τῷ δὲ θράσει ἐπιχειροῦντες, καταφοβοῦσι, καὶ σφᾶς ἂν τὸ αὐτὸ ὁμοίως τοῖς ἐναντίοις ὑποσχεῖν. καὶ Συρακουσίους εὖ εἰδέναι ἔφη τῷ τολμῆσαι ἀπροσδοκήτως πρὸς τὸ Ἀθηναίων ναυτικὸν ἀντιστῆναι, πλέον διὰ τὸ τοιοῦτον ἐκπλαγέντων αὐτῶν περιεσομένους, ἢ Ἀθηναίους τῇ ἐπιστήμῃ τὴν Συρακουσίων ἀπειρίαν βλάψοντας. ἰέναι οὖν ἐκέλευεν ἐς τὴν πεῖραν τοῦ ναυτικοῦ, καὶ μὴ ἀποκνεῖν. καὶ οἱ μὲν Συρακούσιοι, τοῦτε Γυλίππου καὶ τοῦ Ἑρμοκράτους, καὶ εἴ του ἄλλου, πειθόντων, ὥρμηντό τε ἐς τὴν ναυμαχίαν καὶ τὰς ναῦς ἐπλήρουν.

dos rebus nauticis operam dare coepisse: illos autem, qui audax aliquod facinus auderent adversus homines audaces, quales essent & Athenienses, ipsis asperrimos visum iri dicebat. Qua enim ratione illi alios terrerent, interdum non propter maiorem potentiam, sed propter audaciam, quam in illis invadendis praestarent; eadem etiam ratione ipsis quoque idem, quod adversariis, eventurum. Dicebat etiam, se illud probe scire, Syracusanos, si Athenienssium classi ex improviso obviam ire auderent, propter huiusmodi repentinum audaciae facinus, illis consternatis, plus profecturos, quam Athenienses, propter scientiam, Syracusanorum imperitiae obfuturos. Hortabatur igitur, ut rei nauticae periculum facerent, nec eam tentare reformidarent. His autem & Gylippi, & Hermocratis, & si cuius alterius, adhortationibus inducti Syracusani, animum ad navale proelium appulerunt, & naves instruere coeperunt.

κβ'. Ὁ δὲ Γύλιππος, ἐπειδὴ παρεσκευάσατο τὸ ναυτικὸν, ἀγαγὼν ὑπὸ νύκτα πᾶσαν τὴν στρατιὰν τὴν πεζὴν, αὐτὸς μὲν τοῖς ἐν τῷ Πλημμυρίῳ τείχεσι κατὰ γῆν ἔμελλε προσβαλεῖν· αἱ δὲ τριήρεις τῶν Συρακουσίων ἅμα καὶ ἀπὸ ξυνθήματος, πέντε μὲν καὶ τριάκοντα ἐκ τοῦ μεγάλου λιμένος ἐπέπλεον· αἱ δὲ πέντε καὶ τεσσαράκοντα, ἐκ τοῦ ἐλάσσονος, οὗ ἦν καὶ τὸ νεώριον αὐτοῖς. καὶ περιέπλεον, βουλόμενοι πρὸς τὰς ἐντὸς προσμίξαι, καὶ ἅμα ἐπιπλεῖν τῷ Πλημμυρίῳ, ὅπως οἱ Ἀθηναῖοι ἀμφοτέρωθεν θορυβῶνται. οἱ δ' Ἀθηναῖοι, διὰ τάχους ἀντιπληρώσαντες ἑξήκοντα ναῦς, ταῖς μὲν πέντε καὶ εἴκοσι πρὸς τὰς πέντε καὶ τριάκοντα τῶν Συρακουσίων, τὰς ἐν τῷ μεγάλῳ λιμένι, ἐναυμάχουν, ταῖς δ' ἐπιλοίποις ἀπήντων ἐπὶ τὰς ἐκ τοῦ νεωρίου περιπλεούσας.

XXII. Gylippus vero, poſtquam claſſis inſtructa fuit, omnes pedeſtres copias ſub noctem eduxit, & ipſe quidem a terra munitiones in Plemmyrio exſtructas aggreſſurus erat. Syracuſanorum vero triremes uno eodemque tempore ex compoſito, adverſus hoſtem ex magno portu quinque & triginta navigabant: ex minore vero (ubi etiam erant ipſorum navalia) quinque & quadraginta. Circumvehebantur autem, eo conſilio, ut ſe coniungerent cum illis navibus, quae intus & in ipſo magno portu erant, & ſimul Plemmyrium invaderent, ut Athenienſes utrinque turbarentur. Sed Athenienſes, cum ſexaginta naves adverſus hoſtilem claſſem celeriter inſtruxiſſent, quinque & viginti navale proelium commiſerunt cum illis quinque & triginta Syracuſanorum navibus, quae erant in magno portu; cum reliquis vero obviam iverunt illis, quae ex navalibus circumvehebantur. Statim autem ante magni por-

καὶ εὐθὺς πρὸ τοῦ στόματος τοῦ μεγάλου λιμένος ἐναυμάχουν, καὶ ἀντεῖχον ἀλλήλοις ἐπιπολὺ, οἱ μὲν, βιάσασθαι βουλόμενοι τὸν ἔσπλουν, οἱ δὲ, κωλύειν.

κγ'. Ἐν τούτῳ δὲ ὁ Γύλιππος, τῶν ἐν τῷ Πλημμυρίῳ Ἀθηναίων πρὸς τὴν θάλασσαν ἐπικαταβάντων, καὶ τῇ ναυμαχίᾳ τὴν γνώμην προσεχόντων, φθάνει προσπεσὼν ἅμα τῇ ἕῳ αἰφνιδίως τοῖς τείχεσι· καὶ αἱρεῖ τὸ μέγιστον πρῶτον, ἔπειτα δὲ καὶ τὰ ἐλάσσω δύο· οὐχ ὑπομεινάντων τῶν φυλάκων, ὡς εἶδον τὸ μέγιστον ῥᾳδίως ληφθέν. καὶ ἐκ μὲν τοῦ πρώτου ἁλόντος, χαλεπῶς οἱ ἄνθρωποι, ὅσοι καὶ ἐς τὰ πλοῖα καὶ ὁλκάδα τινὰ κατέφυγον, ἐξεκομίζοντο ἐς τὸ στρατόπεδον. τῶν γὰρ Συρακουσίων ταῖς ἐν τῷ μεγάλῳ λιμένι ναυσὶ κρατούντων τῇ ναυμαχίᾳ, ὑπὸ τριήρους μιᾶς καὶ εὖ πλεούσης

tus oſtium confligere coeperunt, & diu alteri alteris reſtiterunt, quod hi quidem in portum per vim ingredi conarentur, illi vero impedire.

XXIII. Interea vero, cum Athenienſes, qui erant in Plemmyrio, ad mare deſcendiſſent, & animos ad pugnam navalem intentos haberent, Gylippus prima luce illorum munitiones repente invaſit. Ac primum quidem e tribus maximam cepit, deinde vero & reliquas duas minores. cuſtodes enim illarum, cum maximam munitionem facile captam animadvertiſſent, ſuſtinere non ſunt auſi. Atque ex prima quidem munitione, quae capta fuit, homines, quotquot & in navigia & in quandam onerariam navem confugerant, aegre in ſua caſtra ſe receperunt. Cum enim Syracuſani cum ſuis navibus, quas in magno portu habebant, navali proelio ſuperiores eſſent, una illorum velox triremis ipſos inſequebatur. Dum autem hae duae muni-

ἐπεδιώκοντο· ἐπειδὴ δὲ τὰ δύο τειχίσματα ἡλίσκετο, ἐν τούτῳ καὶ οἱ Συρακούσιοι ἐτύγχανον ἤδη νικώμενοι, καὶ οἱ ἐξ αὐτῶν φεύγοντες ῥᾷον παρέπλευσαν. αἱ γὰρ τῶν Συρακουσίων αἱ πρὸ τοῦ στόματος νῆες ναυμαχοῦσαι, βιασάμεναι τὰς τῶν Ἀθηναίων ναῦς, οὐδενὶ κόσμῳ ἐσέπλεον, καὶ ταραχθεῖσαι περὶ ἀλλήλας, παρέδοσαν τὴν νίκην τοῖς Ἀθηναίοις. ταύτας τε γὰρ ἔτρεψαν, καὶ ὑφ' ὧν τοπρῶτον ἐνικῶντο ἐν τῷ λιμένι. καὶ ἕνδεκα μὲν ναῦς τῶν Συρακουσίων κατέδυσαν, καὶ τοὺς πολλοὺς τῶν ἀνθρώπων ἀπέκτειναν, πλὴν ὅσων ἐξ τριῶν νεῶν οὓς ἐζώγρησαν. τῶν δὲ σφετέρων τρεῖς νῆες διεφθάρησαν. τὰ δὲ ναυάγια ἀνελκύσαντες τῶν Συρακουσίων, καὶ τροπαῖον ἐν τῷ νησιδίῳ στήσαντες τῷ πρὸ τοῦ Πλημμυρίου, ἀνεχώρησαν ἐς τὸ ἑαυτῶν στρατόπεδον.

tiones caperentur, interea & Syracuſani iam proelio navali vincebantur, & qui ex his munitionibus fugiebant, facilius praetervecti ſunt. Nam Syracuſanorum naves, quae ante magni portus oſtium pugnabant, cum Athenienſium naves per vim loco pepuliſſent, nullo ordine in portum navigabant; &, quod propter confuſionem inter ſe colliderentur, victoriam Athenienſibus praebuerunt. Nam Athenienſes & has in fugam verterunt, & illas, a quibus initio in ipſo portu ſuperati fuerant. Atque undecim quidem Syracuſanorum naves depreſſerunt, & maiorem hominum partem interfecerunt, exceptis illis, qui erant in tribus navibus, quos vivos ceperunt. Ipſorum vero Athenienſium tres naves profligatae fuerunt. Cum autem Syracuſanorum naufragia ſubduxiſſent, & tropaeum erexiſſent in parva inſula ante Plemmyrium ſita, in ſua caſtra redierunt.

κδ'. Οἱ δὲ Συρακούσιοι κατὰ μὲν τὴν ναυμαχίαν εὖτως ἐπεπράγεσαν, τὰ δ' ἐν τῷ Πλημμυρίῳ τείχη εἶχον, καὶ τροπαῖα ἔστησαν αὐτῶν τρία. καὶ τὸ μὲν ἕτερον τοῖν δυοῖν τειχοῖν τῶν ὕστερον λειφθέντοιν κατέβαλον, τὰ δὲ δύο ἐπισκευάσαντες ἐφρούρουν. ἄνθρωποι δ' ἐν τῶν τειχῶν τῇ ἁλώσει ἀπέβαινον καὶ ἐζωγρήθησαν πολλοί· καὶ χρήματα πολλὰ τὰ ξύμπαντα ἑάλω. ὥστε γὰρ ταμιείῳ χρωμένων τῶν Ἀθηναίων τοῖς τείχεσι, πολλὰ μὲν ἐμπόρων χρήματα καὶ σῖτος ἐνῆν, πολλὰ δὲ καὶ τῶν τριπαρχῶν. ἐπεὶ καὶ ἱστία τεσσαράκοντα τριηρῶν καὶ τἄλλα σκεύη ἐγκατελείφθη, καὶ τριήρεις ἀνελκυσμέναι τρεῖς. μέγιστον δὲ καὶ ἐν τοῖς πρῶτον ἐκάκωσε τὸ στράτευμα [τὸ] τῶν Ἀθηναίων ἡ τοῦ Πλημμυρίου λῆψις. οὐ γὰρ ἔτι οὐδ' οἱ ἔσπλοι ἀσφαλεῖς ἦσαν τῆς ἐπαγωγῆς τῶν ἐπιτηδείων, (οἱ γὰρ Συρακούσιοι ναυσὶν αὐτόθι

XXIV. Atque Syracuſani in proelio quidem navali rem ita geſſerunt: at munitiones in Plemmyrio ſitas habebant in ſua poteſtate, & tria ipſarum tropaea ſtatuerunt. Et e duabus quidem munitionibus poſterius captis alteram diruerunt, duas vero refecerunt, & impoſito praeſidio tuebantur. In hac autem iſtarum munitionum expugnatione multi perierunt, vivique multi capti fuerunt. Praeterea & univerſa pecunia, quae ingens erat, capta fuit. Quod enim Athenienſes his munitionibus ut aerario uterentur, multa quidem negotiatorum pecunia, & frumentum inerat, multa etiam trierarcharum, ſiquidem & quadraginta triremium vela, & cetera navium inſtrumenta illic relicta fuerant, & tres triremes ſubductae. Haec autem Plemmyrii expugnatio Athenienſium copias maxime ac inprimis afflixit. Nec enim commeatus in caſtra tuto amplius importari pot-

ἐφορμοῦντες ἐκώλυον) καὶ διὰ μάχης ἤδη ἐγίγνοντο αἱ ἐσκομιδαί· ἔς τε τὰ ἄλλα κατάπληξιν παρέσχε καὶ ἀθυμίαν τῷ στρατεύματι.

κε'. Μετὰ δὲ τοῦτο, ναῦς τε ἐκπέμπουσι δώδεκα οἱ Συρακούσιοι, καὶ Ἀγάθαρχον ἐπ' αὐτῶν Συρακούσιον ἄρχοντα. καὶ αὐτῶν μία μὲν ἐς Πελοπόννησον ὤχετο, πρέσβεις ἄγουσα, οἵπερ τὰ σφέτερα φράσωσιν ὅτι ἐν ἐλπίσιν εἰσὶ, καὶ τὸν ἐκεῖ πόλεμον ἔτι μᾶλλον ἐποτρύνωσι γίγνεσθαι. αἱ δὲ ἕνδεκα νῆες πρὸς τὴν Ἰταλίαν ἔπλευσαν, πυνθανόμεναι πλοῖα τοῖς Ἀθηναίοις γέμοντα χρημάτων προσπλεῖν. καὶ τῶν τε πλοίων ἐπιτυχοῦσαι τὰ πολλὰ διέφθειραν, καὶ ξύλα ναυπηγήσιμα ἐν τῇ Καυλωνιάτιδι κατέκαυσαν, ἃ τοῖς Ἀθηναίοις ἕτοιμα ἦν.

erant, (nam Syracuſani, qui cum ſuis navibus illic ſtationem adverſus ipſos habebant, eos illuc importari prohibebant) iamque importabantur tantum proelio commiſſo. Atque ceteris etiam in rebus haec Plemmyrii expugnatio terrorem, animique demiſſionem exercitui attulit.

XXV. Poſtea vero Syracuſani naves duodecim cum Agatharcho Syracuſano ipſarum praefecto miſerunt. Atque harum una quidem in Peloponneſum ivit, legatos vehens, qui rerum ſuarum ſtatum, & ſpem, quam de propulſandis hoſtibus concepiſſent, Peloponneſiis declararent; & ipſos ad bellum illic multo acrius, quam ante, adminiſtrandum incitarent. Ceterae vero undecim naves Italiam verſus navigarunt, quod audiſſent, naves pecunia onuſtas ad Athenienſes curſum tenere. Has autem naves nactae, pleraſque corruperunt; & materiam ad aedificandas naves idoneam, quae Athenienſibus erat praeparata, in Cauloniatide concremarunt. Poſtea vero ad Locros ive-

ἔς τε Λοκροὺς μετὰ ταῦτα ἦλθον. καὶ ὁρμουσῶν αὐτῶν, κατέπλευσε μία τῶν ὁλκάδων τῶν ἀπὸ Πελοποννήσου, ἄγουσα Θεσπιέων ὁπλίτας. καὶ ἀναλαβόντες αὐτοὺς οἱ Συρακούσιοι ἐπὶ τὰς ναῦς, παρέπλεον ἐπ' οἴκου. Φυλάξαντες δ' αὐτοὺς οἱ Ἀθηναῖοι εἴκοσι ναυσὶ πρὸς τοῖς Μεγάροις, μίαν μὲν ναῦν λαμβάνουσιν αὐτοῖς ἀνδράσι, τὰς δ' ἄλλας οὐκ ἠδυνήθησαν, ἀλλ' ἀποφεύγουσιν ἐς τὰς Συρακούσας. ἐγένετο δὲ καὶ περὶ τῶν σταυρῶν ἀκροβολισμὸς ἐν τῷ λιμένι, οὓς οἱ Συρακούσιοι πρὸ τῶν παλαιῶν νεωσοίκων κατέπηξαν ἐν τῇ θαλάσσῃ, ὅπως αὐτοῖς αἱ νῆες ἐντὸς ὁρμοῖεν, καὶ οἱ Ἀθηναῖοι ἐπιπλέοντες μὴ βλάπτοιεν ἐμβαλόντες. προσαγαγόντες γὰρ ναῦν μυριοφόρον αὐτοῖς οἱ Ἀθηναῖοι, πύργους τε ξυλίνους ἔχουσαν καὶ παραφράγματα, ἔκ τε τῶν ἀκατίων ὤνευον

runt. Et cum illic in ſtatione eſſent, una oneraria navis ex Peloponneſo Theſpienſium gravis armaturae milites vehens, illuc appulit. Syracuſani autem, his in ſuas naves receptis, domum redire coeperunt. Sed Athenienſes, qui cum viginti navibus ad Megara ſtationem habebant, cum ipſos obſervaſſent, unam quidem illorum navem cum ipſis viris interceperunt, ceteras vero capere non potuerunt; ſed Syracuſas elapſae ſunt. Quin etiam in ipſo portu leve certamen commiſſum eſt pro vallis, quos Syracuſani ante vetera navalia in mari defixerant, ut ipſorum naves intra hos ſtationem haberent; utque Athenienſes, ſi contra Syracuſanos navigarent, ipſis nocere non poſſent, cum in ipſos impreſſionem facerent. Athenienſes enim, cum ad hos vallos admoviſſent ingentem navem, quae decem millia farcinarum ferre poterat, & ligneas turres habebat, & pluteis munita erat, vallos ex naviculis religatos circumage-

ἀναδούμενοι τοὺς σταυροὺς, καὶ ἀνέκλων, καὶ καταχαλυμβῶντες ἐξέπριον. οἱ δὲ Συρακούσιοι ἀπὸ τῶν νεωσοίκων ἔβαλλον, οἱ δ' ἐκ τῆς ὁλκάδος ἀντέβαλλον· καὶ τέλος, τοὺς πολλοὺς τῶν σταυρῶν ἀνεῖλον οἱ Ἀθηναῖοι. χαλεπωτάτη δ' ἦν τῆς σταυρώσεως ἡ κρύψις. ἦσαν γὰρ τῶν σταυρῶν οὓς εὐχ ὑπερέχοντας τῆς θαλάσσης κατέπηξαν· ὥστε δεινὸν ἦν προσπλεῦσαι, μὴ οὐ προιδών τις ὥσπερ περὶ ἕρμα περιβάλῃ τὴν ναῦν. ἀλλὰ καὶ τούτους κολυμβηταὶ δυόμενοι ἐξέπριον μισθοῦ. ὅμως δ' αὖθις οἱ Συρακούσιοι ἐσταύρωσαν. πολλὰ δὲ καὶ ἄλλα πρὸς ἀλλήλους (οἷον εἰκὸς τῶν στρατοπέδων ἐγγὺς ὄντων καὶ ἀντιτεταγμένων) ἐμηχανῶντο, καὶ ἀκροβολισμοῖς καὶ πείραις παντοίαις ἐχρῶντο. ἔπεμψαν δὲ καὶ ἐς τὰς πό-

bant, fractoſque convellebant, & urinantes educebant, quos ferra ſecabant. Syracuſani vero ex navalibus illos miſſilibus petebant: illi vero viciſſim ex oneraria navi tela in ipſos iaciebant. Ad extremum autem Athenienſes magnam vallorum partem evulſerunt. Sed omnium vallorum illi, qui ſub aquis latebant, maximum negotium faceſſebant. Nam Syracuſani nonnullos vallos ſupra aquam non eminentes defixerant. Quare periculoſum erat illuc accedere, ne quis, re non praeviſa, navem in vallum, ut in ſcopulum impingeret. Sed hos quoque vallos, urinatores mercede ſollicitati, aquam ſubeuntes, ferra ſecabant. Syracuſani tamen alios vallos rurſus defixerunt. Multas etiam alias nocendi rationes alteri adverſus alteros excogitabant, (ut inter vicinos exercitus & caſtra oppoſita habentes fieri credibile eſt) & levia proelia committebant, & nihil intentatum relinquebant. Praeterea Syracuſani legatos ex Corinthiis,

λεις πρέσβεις οἱ Συρακούσιοι Κορινθίων καὶ Ἀμπρακιωτῶν καὶ Λακεδαιμονίων, ἀγγελοῦντας τήν τε τοῦ Πλημμυρίου λῆψιν, καὶ τῆς ναυμαχίας πέρι, ὡς οὐ τῇ τῶν πολεμίων ἰσχύϊ μᾶλλον ἢ τῇ σφετέρᾳ ταραχῇ ἡσσηθεῖεν· τά τε ἄλλα αὖ δηλώσοντας ὅτι ἐν ἐλπίσιν εἰσὶ, καὶ ἀξιώσοντας ξυμβοηθεῖν ἐπ' αὐτοὺς καὶ ναυσὶ καὶ πεζῷ, ὡς καὶ τῶν Ἀθηναίων προσδοκίμων ὄντων ἄλλῃ στρατιᾷ, καὶ ἣν φθάσωσιν αὐτοὶ πρότερον διαφθείραντες τὸ παρὸν στράτευμα αὐτῶν, διαπολεμησόμενον. καὶ οἱ μὲν ἐν τῇ Σικελίᾳ ταῦτα ἔπρασσον.

κστ'. Ὁ δὲ Δημοσθένης, ἐπεὶ ξυνελέγη αὐτῷ τὸ στράτευμα ὃ ἔδει ἔχοντα ἐς τὴν Σικελίαν βοηθεῖν, ἄρας ἐκ τῆς Αἰγίνης, καὶ πλεύσας πρὸς τὴν Πελοπόννησον, τῷ τε Χαρικλεῖ καὶ ταῖς τριάκοντα ναυσὶ τῶν Ἀθηναίων

& Ambraciotis, & Lacedaemoniis delectos, in diverſas Siciliae civitates miſerunt, ut & de Plemmyrio capto, & de navali pugna, in qua non tam hoſtium viribus, quam ſua confuſione ſuperati eſſent, nuntios afferrent. Simul etiam, ut ceterarum rerum ſtatum declararent, & ſe ſpem habere ſignificarent, utque rogarent, ut coniunctis viribus, claſſe pariter ac peditatu, opem ſibi adverſus ipſos Athenienſes ferrent, quod & Athenienſes cum aliis copiis exſpectarentur: quod ſi ipſi praeſentem illorum exercitum mature, priuſquam aliae copiae venirent, profligarent, debellatum iri. Atque illi quidem, qui erant in Sicilia, haec agebant.

XXVI. Demoſthenes vero, poſtquam exercitum collegit, cum quo in Siciliam ad opem ſuis ferendam erat traiecturus, ex Aegina ſolvens, in Peloponneſum navigavit, & cum Charicle & triginta Athenienſium navibus ſe con-

ξυμμίσγει. καὶ παραλαβόντες τῶν Ἀργείων ὁπλίτας [τινὰς] ἐπὶ τὰς ναῦς, ἔπλεον ἐς τὴν Λακωνικήν· καὶ πρῶτον μὲν τῆς Ἐπιδαύρου τι τῆς Λιμηρᾶς ἐδήωσαν, ἔπειτα σχόντες ἐς τὰ καταντικρὺ Κυθήρων τῆς Λακωνικῆς, ἔνθα τὸ ἱερὸν τοῦ Ἀπόλλωνός ἐστι, τῆς τε γῆς ἔστιν ἃ ἐδήωσαν, καὶ ἐτείχισαν ἰσθμῷδές τι χωρίον, ἵνα δὴ οἵ τε Εἵλωτες τῶν Λακεδαιμονίων αὐτόσε αὐτομολῶσι, καὶ λῃσταὶ ἐξ αὐτοῦ, ὥσπερ ἐκ τῆς Πύλου, ἁρπαγὴν ποιῶνται. καὶ ὁ μὲν Δημοσθένης εὐθὺς, ἐπειδὴ ξυγκατέλαβε τὸ χωρίον, ἐπέπλει ἐπὶ τῆς Κερκύρας, ὅπως καὶ τῶν ἐκεῖθεν ξυμμάχων παραλαβὼν, τὸν ἐς τὴν Σικελίαν πλοῦν ὁτιτάχιστα ποιῆται· ὁ δὲ Χαρικλῆς, περιμείνας ἕως τὸ χωρίον ἐξετείχισε, καὶ καταλιπὼν φυλακὴν αὐτοῦ, ἀπεκομίζετο καὶ αὐτὸς ὕστερον ταῖς τριάκοντα ναυσὶν ἐπ' οἴκου, καὶ οἱ Ἀργεῖοι ἅμα.

iunxit. Nonnullis etiam Argivorum militibus in naves aſſumtis, agrum Laconicum petierunt. Ac primum quidem Epidauri Limerae agrum in quadam parte vaſtarunt, deinde vero appulſi ad agri Laconici oram, quae eſt e regione Cytherorum, ubi eſt Apollinis templum, nonnulla illius agri loca vaſtarunt, & quendam locum Iſthmo ſimilem muniverunt, ut & Lacedaemoniorum ſervitia illuc transfugerent, & inde latrones, ut ex Pylo, praedatum irent. Atque Demoſthenes quidem, poſtquam eum locum muro complexus munivit, in Corcyram traiecit, ut, aſſumtis illius regionis ſociis, in Siciliam quam celerrime navigaret. Charicles vero illic permanſit, donec Demoſthenes illum locum muniviſſet; & praeſidio illic relicto, poſtea & ipſe cum triginta navibus ſe domum recepit, & Argivi ſimul abierunt.

κζ'. Ἀφίκοντο δὲ καὶ τῶν Θρᾳκῶν τῶν μαχαιροφόρων τοῦ Διακοῦ γένους ἐς τὰς Ἀθήνας πελτασταὶ ἐν τῷ αὐτῷ θέρει τούτῳ τριακόσιοι καὶ χίλιοι, οὓς ἔδει τῷ Δημοσθένει ἐς τὴν Σικελίαν ξυμπλεῖν. οἱ δ' Ἀθηναῖοι, ὡς ὕστερον ἦκον, διενοοῦντο αὐτοὺς πάλιν ὅθεν ἦλθον ἐς Θρᾴκην ἀποπέμπειν. τὸ γὰρ ἔχειν πρὸς τὸν ἐκ τῆς Δεκελείας πόλεμον αὐτοὺς, πολυτελὲς ἐφαίνετο. δραχμὴν γὰρ τῆς ἡμέρας ἕκαστος ἐλάμβανεν. ἐπειδὴ γὰρ ἡ Δεκέλεια, τὸ μὲν πρῶτον ὑπὸ πάσης τῆς στρατιᾶς ἐν τῷ θέρει τούτῳ τειχισθεῖσα, ὕστερον δὲ Φρουραῖς ὑπὸ τῶν πόλεων, κατὰ διαδοχὴν χρόνου ἐπιουσῶν τῇ χώρᾳ, ἐπωκεῖτο, πολλὰ ἔβλαπτε τοὺς Ἀθηναίους, καὶ ἐν τοῖς πρώτοις χρημάτων τ' ὀλέθρῳ καὶ ἀνθρώπων φθορᾷ ἐκάκωσε τὰ πράγματα. πρότερον μὲν γὰρ βραχεῖαι γιγνό-

XXVII. Hac eadem aeſtate, ex Thracibus etiam machaerophoris, qui ſunt ex Diaco genere, mille ac trecenti peltati Athenas venerunt, quos in Siciliam cum Demoſthene navigare oportuerat. Athenienſes vero, quod ſerius & poſt Demoſthenis diſceſſum veniſſent, ipſos in Thraciam, unde venerant, remittere ſtatuerunt. Nam eos retinere illius belli cauſa, quod ex Decelea gerebatur, ſumtuoſum videbatur. Eorum enim ſinguli quotidie ſingulas drachmas accipiebant. Decelea enim, poſtquam primum quidem hac aeſtate ab univerſis Lacedaemoniorum copiis munita eſt, deinde vero inſeſſa eſt praeſidiis a civitatibus miſſis, quae certo temporum ſpatio alia aliis per vices ſuccedentia agrum Atticum invadebant ac infeſtabant, Athenienſes magnis detrimentis affecit, & inprimis res illorum afflixit & pecuniarum direptione & hominum interitu. Nam ante quidem irruptiones, quae fiebant, quod non diuturnae eſſent,

μεναι αἱ εἰσβολαὶ τὸν ἄλλον χρόνον τῆς γῆς ἀπολαύειν οὐκ ἐκώλυον, τότε δὲ ξυνεχῶς ἐπικαθημένων, καὶ ὁτὲ μὲν καὶ πλείοσιν ἐπιόντων, ὁτὲ δ' ἐξ ἀνάγκης τῆς ἴσης φρουρᾶς καταβεούσης τε τὴν χώραν, καὶ λῃστείας ποιουμένης, βασιλέως τε παρόντος τοῦ τῶν Λακεδαιμονίων Ἀγιδος, (ὃς οὐκ ἐκ παρέργου τὸν πόλεμον ἐποιεῖτο) μεγάλα οἱ Ἀθηναῖοι ἐβλάπτοντο. τῆς τε γὰρ χώρας ἁπάσης ἐστέρηντο, καὶ ἀνδραπόδων πλέον ἢ δύο μυριάδες ηὐτομολήκεσαν, καὶ τούτων πολὺ μέρος χειροτέχναι· πρόβατά τε πάντα ἀπολώλει, καὶ ὑποζύγια· ἵπποι τε, ὁσημέραι ἐξελαυνόντων τῶν ἱππέων, πρός τε τὴν Δεκέλειαν καταδρομὰς ποιουμένων, καὶ κατὰ τὴν χώραν φυλασσόντων, οἱ μὲν ἀπεχωλοῦντο, ἐν γῇ ἀποκρότῳ τε καὶ ξυνεχῶς ταλαιπωροῦντες, οἱ δ' ἐτιτρώσκοντο.

non impediebant Athenienſes, ne reliqua anni parte fructus ex agro ſuo perciperent: tunc vero, quod continenter obſiderent, & interdum quidem cum magnis copiis eum invaderent, interdum vero cogente neceſſitate par praeſidium regionem incurſionibus infeſtaret, & praedas ageret, & Agis Lacedaemoniorum rex adeſſet, (qui non negligenter bellum adminiſtrabat) Athenienſes magnis detrimentis afficiebantur. Nam & univerſo agro privati erant, & ſervitiorum amplius quam viginti millia ad hoſtes tranſierant, horumque magna pars manuarias artes exercebat. oves etiam omnes amiſſae erant, & boves: & equi, quod ab equitibus tum ad Deceleam excurſiones facientibus, tum omnem circumcirca regionem tutantibus, quotidie agitarentur, partim quidem claudi fiebant, quod in aſpero ſolo gravibuſque laboribus aſſidue vexarentur, partim vero ſauciabantur.

κή. Ἥτε τῶν ἐπιτηδείων παρακομιδὴ ἐκ τῆς Εὐβοίας, πρότερον ἐκ τοῦ Ὠρωποῦ κατὰ γῆς, διὰ τῆς Δεκελείας θᾶσσον οὖσα, περὶ Σούνιον, κατὰ θάλασσαν πολυτελὴς ἐγίγνετο· τῶν τε πάντων ὁμοίως ἐπακτῶν ἐδεῖτο ἡ πόλις, καὶ ἀντὶ τοῦ πόλις εἶναι, φρούριον κατέστη. πρὸς γὰρ τῇ ἐπάλξει τὴν μὲν ἡμέραν κατὰ διαδοχὴν οἱ Ἀθηναῖοι φυλάσσοντες, τὴν δὲ νύκτα, καὶ ξύμπαντες, πλὴν τῶν ἱππέων, οἱ μὲν ἐφ' ὅπλοις ποιούμενοι, οἱ δ' ἐπὶ τοῦ τείχους, καὶ θέρους καὶ χειμῶνος ἐταλαιπωροῦντο. μάλιστα δ' αὐτοὺς ἐπίεζεν ὅτι δύο πολέμους ἅμα εἶχον. καὶ ἐς φιλονεικίαν καθέστασαν τοιαύτην, ἣν, πρὶν γενέσθαι, ἠπίστησεν ἄν τις ἀκούσας. τὸ γὰρ αὐτοὺς πολιορκουμένους ἐπιτειχισμῷ ὑπὸ Πελοποννησίων, μηδ' ὡς ἀποστῆναι ἐκ Σικελίας, ἀλλὰ ἐκεῖ Συ-

XXVIII. Et commeatus, qui ex Euboea comportabantur, cum prius ex Oropo itinere terreſtri per Deceleam citius comportarentur, circum Sunium, itinere maritimo magnis ſumtibus in urbem importabantur. Et ceteris etiam omnibus rebus advectitiis aeque ac ipſis commeatibus civitas indigebat, & quae prius urbs erat, nunc in caſtellum commutata erat. Athenienſes enim, quod interdiu quidem excubias ad murorum pinnas per vices agerent, noctu vero & univerſi, praeter equites, partim quidem in ſtatione, ubi arma in promtu habebant, partim vero ſupra muros, aeſtate pariter & hieme excubias agerent, aerumnis conficiebantur. Sed illud potiſſimum ipſos premebat, quod duo bella ſimul ſuſtinerent. Atque eo pervicaciae progreſſi ſunt, quam nullus credidiſſet, ſi prius eam audiſſet, quam ad eam illi deveniſſent. Nam ipſos a Peloponneſiis munitione circumſeſſos, tamen ne ſic quidem ex Sicilia dece-

ραισύσας τῷ αὐτῷ τρόπῳ ἀντιπολιορκεῖν, πόλιν οὐδεν ἐλάσσονα αὐτήν τε καθ' αὐτὴν τῶν Ἀθηνῶν, καὶ τὸν παράλογον τοσοῦτον ποιῆσαι τοῖς Ἕλλησι τῆς δυνάμεως καὶ τόλμης, ὅσον κατ' ἀρχὰς τοῦ πολέμου, οἱ μὲν ἐνιαυτὸν, οἱ δὲ δύο, οἱ δὲ τριῶν γε ἐτῶν, οὐδεὶς πλείω χρόνον ἐνόμιζον περιοίσειν αὐτοὺς, εἰ οἱ Πελοποννήσιοι ἐσβάλοιεν ἐς τὴν χώραν· ὥστε ἔτει ἑπταικαιδεκάτῳ μετὰ τὴν πρώτην ἐσβολὴν ἦλθον ἐς Σικελίαν, ἤδη τῷ πολέμῳ κατὰ πάντα τετρυχωμένοι, καὶ πόλεμον οὐδεν ἐλάσσω προσανείλοντο τοῦ πρότερον ὑπάρχοντος ἐκ Πελοποννήσου. δι' ἃ καὶ τότε ὑπό τε τῆς Δεκελείας πολλὰ βλαπτούσης καὶ τῶν ἄλλων ἀναλωμάτων μεγάλων προσπιπτόντων, ἀδύνατοι ἐγένοντο τοῖς χρήμασι· καὶ τὴν εἰκοστὴν ὑπὸ τοῦτον τὸν χρόνον τῶν κατὰ θάλασσαν ἀντὶ

dere voluiſſe, ſed illic eodem modo viciſſim obſidere Syracuſas, urbem, ipſam per ſe Athenis non inferiorem; adeoque Graecorum opinionem fefelliſſe, quam huius belli initio de ipſorum potentia & audacia conceperant, (nam alii quidem annum, alii vero biennium, alii etiam triennium; nullus vero diutius eos bellum toleraturos putabat, ſi Peloponneſii irruptionem in ipſorum agrum feciſſent) ut, anno decimo ſeptimo poſt primam irruptionem, iii Siciliam proficiſcerentur, hoc bello iam prorſus attriti, & alterum bellum praeterea ſuſciperent, non levius priore, quod a Peloponneſiis illatum iam ſuſtinebant. Propter quae, & multa detrimenta, quae a Decelea tunc accipiebant, ſimul etiam propter alios magnos ſumtus, quos pro variis occaſionibus, quae occurrebant, facere cogebantur, ad maximam pecuniae inopiam redacti ſunt. Et per id tempus tributi loco viceſimam mercium, quae mari vehebantur,

τοῦ Φόρου τοῖς ὑπηκόοις ἐποίησαν, πλείω νομίζοντες ἂν σφίσι χρήματα οὕτω προσιέναι. αἱ μὲν γὰρ δαπάναι οὐχ ὁμοίως καὶ πρὶν, ἀλλὰ πολλῷ μείζους καθέστασαν, ὅσῳ καὶ μείζων ὁ πόλεμος ἦν· αἱ δὲ πρόσοδοι ἀπώλλυντο.

κθ'. Τοὺς οὖν Θρᾷκας, τοὺς τῷ Δημοσθένει ὑστερήσαντας διὰ τὴν παροῦσαν ἀπορίαν τῶν χρημάτων, οὐ βουλόμενοι δαπανᾶν, εὐθὺς ἀπέπεμπον, προστάξαντες κομίσαι αὐτοὺς Διϊτρεφεῖ, καὶ εἰπόντες, ἅμα ἐν τῷ παράπλῳ (ἐπορεύοντο γὰρ δι' Εὐρίπου) καὶ τοὺς πολεμίους ἤν τι δύνωνται ἀπ' αὐτῶν βλάψαι. ὁ δὲ ἐς τὴν Τάναγραν ἀπεβίβασεν αὐτοὺς, καὶ ἁρπαγήν τινα ἐποιήσατο διὰ τάχους, καὶ ἐκ Χαλκίδος τῆς Εὐβοίας ἀφ' ἑσπέρας διέπλευσε τὸν Εὔριπον· καὶ ἀποβιβάσας ἐς τὴν Βοιωτίαν, ἦγεν αὐτοὺς ἐπὶ Μυκαλησσόν. καὶ τὴν μὲν νύκτα λαβὼν, πρὸς τῷ Ἑρμαίῳ ηὐλίζετο· (ἀπέχει

populis imperio ſuo ſubiectis imperarunt, ſperantes, ſe maiorem pecuniae vim hac ratione confecturos. Nam impenſae quidem non quales ante, ſed longe maiores fiebant, quo etiam maius bellum exſiſtebat: proventus vero amittebantur.

XXIX. Thraces igitur, qui ad Demoſthenem non ſatis mature venerant, propter praeſentem inopiam pecuniae, cum ſumtus facere nollent, ſtatim dimiſerunt; eoſque deducendi negotium Diitrephi dederunt, eique praeceperunt, ut in ipſa praetervectione (nam per Euripum tranſibant) hoſtibus etiam, ſi qua ratione poſſent, illorum opera uſus noceret. Hic autem ipſos ad Tanagram eduxit, & praedae nonnihil raptim egit, & ſub veſperum ex Chalcide Euboeae traiecit Euripum: ipſoſque in Boeotiam expoſitos adverſus Mycaleſſum duxit. Et illam quidem noctem ad

δὲ τῆς Μυκαλησσοῦ ἑκκαίδεκα μάλιστα σταδίους) ἅμα δὲ τῇ ἡμέρᾳ τῇ πόλει προσέκειτο οὔσῃ μεγάλῃ· καὶ αἱρεῖ, ἀφυλάκτοις τε ἐπιπεσὼν, καὶ ἀπροσδοκήτοις μὴ ἄν ποτε τινὰ σφίσιν ἀπὸ θαλάσσης τοσοῦτον ἐπαναβάντα ἐπιθέσθαι, τοῦ τείχους ἀσθενοῦς ὄντος, καὶ ἔστιν ᾗ καὶ πεπτωκότος, τοῦ δὲ, βραχέος ᾠκοδομημένου, καὶ πυλῶν ἅμα διὰ τὴν ἄδειαν ἀνεῳγμένων. ἐσπεσόντες δὲ οἱ Θρᾷκες ἐς τὴν Μυκαλησσὸν, τάς τε οἰκίας καὶ τὰ ἱερὰ ἐπόρθουν, καὶ τοὺς ἀνθρώπους ἐφόνευον, φειδόμενοι οὔτε πρεσβυτέρας οὔτε νεωτέρας ἡλικίας, ἀλλὰ πάντας ἐξῆς, ὅτῳ ἐντύχοιεν, καὶ παῖδας καὶ γυναῖκας κτείνοντες, καὶ προσέτι καὶ ὑποζύγια, καὶ ὅσα ἄλλα ἔμψυχα ἴδοιεν. τὸ γὰρ γένος τὸ τῶν Θρᾳκῶν, ὅμοια τοῖς μάλιστα τοῦ βαρβαρικοῦ, ἐν ᾧ ἂν θαρσήσῃ, φονικώτα-

Mercurii fanum clam hoſtibus ſubſidens tranſegit. (Hoc autem a Mycaleſſo diſtat ſexdecim circiter ſtadia.) Sed prima ſtatim luce urbem, quae ampla erat, invaſit. Quod autem homines cuſtodum praeſidio nudatos invaſiſſet, ac eos, qui non ſuſpicabantur, ullos unquam tantum iter a mari in loca mediterranea facturos, ut ſe invaderent, cepit, quod murus infirmus eſſet, & partim quidem collapſus, partim vero humiliter aedificatus, ſimul etiam quod portae propter ſecuritatem eſſent apertae. Thraces igitur in hanc urbem irruentes, & privatas & ſacras aedes diripiebant, & ipſos homines interficiebant, nec ſenili aut iuvenili aetati parcentes; ſed omnes, ut in unumquemque deinceps incidebant, & pueros & feminas interficientes; quin etiam praeterea iumenta, & quaſcunque alias animantes vidiſſent. Nam Thracum gens, (quales eſſe ſolent nationes maxime barbarae) cum fiduciam animo concepit,

τόν ἐστι. καὶ τότε ἄλλη τε ταραχὴ οὐκ ὀλίγη, καὶ ἰδέα πᾶσα καθειστήκει ὀλέθρου· καὶ ἐπιπεσόντες διδασκαλείῳ παίδων (ὅπερ μέγιστον ἦν αὐτόθι, καὶ ἄρτι ἔτυχον οἱ παῖδες ἐσεληλυθότες) κατέκοψαν πάντας· καὶ ξυμφορὰ τῇ πόλει πάσῃ οὐδεμιᾶς ἧσσων μᾶλλον ἑτέρας ἀδόκητός τε ἐπέπεσεν αὕτη καὶ δεινή.

λ'. Οἱ δὲ Θηβαῖοι, αἰσθόμενοι ἐβοήθουν, καὶ καταλαβόντες προκεχωρηκότας ἤδη τοὺς Θρᾷκας οὐ πολὺ, τήν τε λείαν ἀφείλοντο, καὶ αὐτοὺς φοβήσαντες, καταδιώκουσιν ἐπὶ τὸν Εὔριπον καὶ τὴν θάλασσαν, οὗ αὐτοῖς τὰ πλοῖα, ἃ ἦγαγεν, ὥρμει. καὶ ἀποκτείνουσιν αὐτῶν ἐν τῇ ἐσβάσει τοὺς πλείστους, οὔτε ἐπισταμένους νεῖν· τῶν τε ἐν τοῖς πλοίοις, ὡς εἶδον τὰ ἐν τῇ γῇ, ὁρμισάντων ἔξω τοῦ ζεύγματος τὰ πλοῖα. ἐπεὶ ἔν γε τῇ ἄλλῃ

caedis eſt avidiſſima. Quare cum alia perturbatio non exigua tunc exſtitit in hac urbe, tum etiam omne caedis genus. Nam irruentes etiam in puerorum ludum, (qui maximus illic erat, & pueri in eum modo erant ingreſſi) omnes concidérunt. Atque iſta clades univerſae civitati adeo gravis adeoque inopinata contigit, ut nullam aliam hac graviorem & magis inopinatam acceperit.

XXX. Thebani vero, cum rem cognoviſſent, ad opem urbi ferendam accurrerunt; & nacti Thraces iam non longe progreſſos, & praedam ipſis eripuerunt, ipſoſque perterritos perſequi coepérunt ad Euripum uſque & ad mare, ubi ſtabant ipſorum naves, quae ipſos vexerant. Et ipſorum plurimos, dum naves conſcenderent, neque natandi peritos, interfecerunt; iis, qui in navibus erant, cum vidiſſent ea, quae in terra gerebantur, naves extra Euripi pontem mariſque fauces in altum educentibus. Nam in alio

ἀναχωρήσει οὐκ ἀτόπως οἱ Θρᾷκες πρὸς τὸ τῶν Θηβαίων ἱππικὸν, ὅπερ πρῶτον προσέκειτο, προεκβέοντές τε καὶ ξυστρεφόμενοι ἐν ἐπιχωρίῳ τάξει, τὴν φυλακὴν ἐποιοῦντο· καὶ ὀλίγοι αὐτῶν ἐν τούτῳ διεφθάρησαν, μέρος δέ τι καὶ ἐν τῇ πόλει αὐτῇ δι' ἁρπαγὴν ἐγκαταληφθὲν ἀπώλετο. οἱ δὲ ξύμπαντες τῶν Θρᾳκῶν, πεντήκοντα καὶ διακόσιοι, ἀπὸ τριακοσίων καὶ χιλίων, ἀπέθανον. διέφθειραν δὲ καὶ τῶν Θηβαίων καὶ τῶν ἄλλων οἳ ξυνεβοήθησαν, ἐς εἴκοσι μάλιστα ἱππέας τε καὶ ὁπλίτας ὁμοῦ, καὶ Θηβαίων τῶν Βοιωταρχῶν, Σκιρφώνδαν· τῶν δὲ Μυκαλησσίων μέρος τι ἀπαναλώθη. τὰ μὲν κατὰ τὴν Μυκαλησσὸν, πάθει χρησαμένων οὐδενὸς, ὡς ἐπὶ μεγέθει, τῶν κατὰ τὸν πόλεμον ἥσσον ὀλοφύρασθαι ἀξίῳ, τοιαῦτα ξυνέβη.

receptu, & in cetero itinere, Thraces non incompoſite adverſus Thebanorum equitatum, qui primus ipſos invaſerat, procurrentes, & conglobati ordinem patrio more ſervantes, ſeſe defendebant. Et pauci ipſorum propterea perierunt; quaedam vero ipſorum pars, quae in urbe, dum praedaretur, deprehenſa fuerat, interiit. In ſumma vero, ex mille & trecentis Thracibus, omnino ducenti & quinquaginta ceciderunt. Ex Thebanis vero, & aliis, qui ad opem Mycaleſſiis ferendam convenerant, viginti circiter, tam equites, quam ſimul gravis armaturae milites, una cum Scirphonda Thebano, uno ex Boeotarchis, a Thracibus interfecti fuerunt. Mycaleſſiorum vero pars quaedam abſumta fuit. Atque hic quidem fuit exitus cladis, quam Mycaleſſius accepit, quae pro civitatis magnitudine non minus eſt deploranda, quam ulla alia, quae in hoc bello acciderit.

λα'. Ὁ δὲ Δημοσθένης, τότε ἀποπλέων ἐκ τῆς Κερκύρας μετὰ τὴν ἐκ τῆς Λακωνικῆς τείχισιν, ὁλκάδα ὁρμοῦσαν ἐν Φειᾷ τῇ Ἠλείων λαβὼν, ἐν ᾗ οἱ Κορίνθιοι ὁπλῖται ἐς τὴν Σικελίαν ἔμελλον περαιοῦσθαι, αὐτὴν μὲν διαφθείρει, οἱ δ' ἄνδρες ἀποφυγόντες, ὕστερον λαβόντες ἄλλην ἔπλεον. καὶ μετὰ τοῦτο ἀφικόμενος ὁ Δημοσθένης ἐς τὴν Ζάκυνθον καὶ Κεφαλληνίαν, ὁπλίτας τε παρέλαβε, καὶ ἐκ τῆς Ναυπάκτου τῶν Μεσσηνίων μετεπέμψατο· καὶ ἐς τὴν ἀντιπέρας ἤπειρον τῆς Ἀκαρνανίας διέβη, ἐς Ἀλυζίαν τε καὶ Ἀνακτόριον, ὃ αὐτοὶ εἶχον. ὄντι δ' αὐτῷ περὶ ταῦτα ὁ Εὐρυμέδων ἀπαντᾷ, ἐκ τῆς Σικελίας ἀποπλέων, ὃς τότε τοῦ χειμῶνος τὰ χρήματα ἄγων τῇ στρατιᾷ ἀπεπέμφθη. καὶ ἀγγέλλει τά τε ἄλλα, καὶ ὅτι πύθοιτο κατὰ πλοῦν ἤδη

XXXI. Demoſthenes vero tunc Corcyra ſolvens, poſt illam Deceleae munitionem in agro Laconico factam, onerariam navem Phiae Eleorum in ſtatione nactus, in qua gravis armaturae milites Corinthii in Siciliam erant traiecturi, ipſam quidem corrupit; viri vero elapſi, & mox aliam onerariam navem nacti, eo tranſmiſerunt. Poſtea vero Demoſthenes in Zacynthum profectus & in Cephalleniam, illinc gravis armaturae milites aſſumſit, & Meſſeniorum partem Naupacto arceſſivit; atque in oppoſitam Acarnaniae continentem traiecit, & Alyziam, & Anactorium, quod ipſi Athenienſes tenebant. Ipſi autem circum haec loca agitanti occurrit Eurymedon, ex Sicilia remeans, qui tunc hieme cum pecunia, quam ad exercitum ferebat, illuc miſſus fuerat. Hic autem ipſi nuntiavit, cum alia, quae viderat, tum etiam, ſe, dum iam eſſet in ipſo navigationis curſu, audiſſe, Plemmyrium a Syracuſanis rece-

ὧν τὸ Πλημμύριον ὑπὸ τῶν Συρακουσίων ἑαλωκός. ἀφικνεῖται δὲ καὶ Κόνων παρ' αὐτοὺς, ὃς ἦρχε Ναυπάκτου, ἀγγέλλων ὅτι αἱ πέντε καὶ εἴκοσι νῆες τῶν Κορινθίων, αἱ σφίσιν ἀνθορμοῦσαι, οὔτε καταλύουσι τὸν πόλεμον, ναυμαχεῖν τε μέλλουσι. πέμπειν οὖν ἐκέλευεν αὐτοὺς ναῦς, ὡς οὐχ ἱκανοὺς ὄντας δυοῖν δεούσαις εἴκοσιν ταῖς ἑαυτῶν πρὸς τὰς ἐκείνων πέντε καὶ εἴκοσι ναυμαχεῖν. τῷ μὲν οὖν Κόνωνι δέκα ναῦς ὁ Δημοσθένης καὶ ὁ Εὐρυμέδων τὰς ἄριστα σφίσι πλεούσας ἀφ' ὧν αὐτοὶ εἶχον, ξυμπέμπουσι πρὸς τὰς ἐν τῇ Ναυπάκτῳ. αὐτοὶ δὲ τὰ περὶ τῆς στρατιᾶς τὸν ξύλλογον ἡτοιμάζοντο· Εὐρυμέδων μὲν, ἐς τὴν Κέρκυραν πλεύσας, καὶ πεντεκαίδεκά τε ναῦς πληροῦν κελεύσας αὐτοὺς, καὶ ὁπλίτας καταλεγόμενος. (ξυνῆρχε γὰρ ἤδη Δημοσθένει, ἀποτραπόμενος, ὥσπερ καὶ ἠρέθη) Δημοσθένης δ' ἐκ τῶν

ptum. Praeterea Conon etiam, qui Naupacto praeerat, ad ipsos venit, nuntiaturus, quinque & viginti Corinthiorum naves, quae in statione sibi opposita stabant, neque finito bello illinc discedere, & proelium navale commissuras esse. Ipsos igitur naves ad se mittere iubebat, quod cum suis duodeviginti navibus impares essent ad confligendum cum hostium quinque & viginti navibus. Demosthenes igitur & Eurymedon, decem velocissimas ex iis, quas ipsi habebant, cum ipso Conone miserunt ad illas, quae Naupacti erant. Ipsi vero res ad illam expeditionem necessarias apparabant, copiasque cogebant. Atque Eurymedon quidem, in Corcyram profectus, iussit ipsos Corcyraeos instruere quindecim naves: & gravis armaturae milites delegit. (nam aversus ab instituto navigationis cursu, quo Athenas petebat, iam una cum Demosthene imperium ge-

περὶ τὴν Ἀκαρνανίαν χωρίων σφενδονήτας τε καὶ ἀκοντιστὰς ξυναγείρων.

λβ'. Οἱ δ' ἐκ τῶν Συρακουσῶν τότε μετὰ τὴν τοῦ Πλημμυρίου ἅλωσιν πρέσβεις οἰχόμενοι ἐς τὰς πόλεις, ἐπειδὴ ἔπεισάν τε, καὶ ξυναγείραντες ἔμελλον ἄξειν τὸν στρατὸν, ὁ Νικίας προπυθόμενος, πέμπει ἐς τῶν Σικελῶν τοὺς τὴν ὁδὸν ἔχοντας, καὶ ξυμμάχους Κεντόριπάς τε καὶ Ἀλικυκαίους, καὶ ἄλλους, ὅπως μὴ διαφήσωσι τοὺς πολεμίους, ἀλλὰ ξυστραφέντες κωλύσωσι διελθεῖν. ἄλλῃ γὰρ αὐτοὺς οὐδὲ πειράσειν. Ἀκραγαντῖνοι γὰρ οὐκ ἐδίδοσαν διὰ τῆς ἑαυτῶν ὁδόν. πορευομένων δ' ἤδη τῶν Σικελιωτῶν, οἱ Σικελοὶ, καθάπερ ἐδέοντο οἱ Ἀθηναῖοι, ἐνέδραν τινὰ τριχῇ ποιησάμενοι, ἀφυλάκτοις τε καὶ ἐξαίφνης ἐπιγενόμενοι, διέφθειραν ἐς ὀκτακοσίους μάλι-

rebat, quemadmodum etiam delectus fuerat.) Demoſthenes vero ex locis, quae circum Acarnaniam erant, funditores & iaculatores coëgit.

XXXII. At Syracuſanorum legati, qui tunc, poſt Plemmyrium expugnatum, varias Siciliae civitates adierant, cum, quod petierant, ipſis perſuaſiſſent, & copias, quas collegerant, Syracuſas eſſent ducturi, Nicias, qui rem praeſenſerat, mittit ad illos Siculos, qui tranſitum tenebant, & cum ad Centoripas & Alicycaeos, tum etiam ad alios ſocios, ne patiantur hoſtes per ſuos fines iter facere, ſed eos congregati tranſire prohibeant. nec enim eos alia via tranſire conaturos. Agrigentini enim iter ipſis per ſuum agrum dare nolebant. Cum autem Sicilienſes iam iter facerent, Siculi, quemadmodum ab Athenienſibus orabantur, tribus in locis inſidias collocarunt, & illos incautos ac ex improviſo aggreſſi, ad octingentos ferme occi-

στα, καὶ τοὺς πρέσβεις, πλὴν ἑνὸς τοῦ Κορινθίου, πάντας. οὗτος δὲ τοὺς διαφυγόντας ἐς πεντακοσίους καὶ χιλίους ἐκόμισεν ἐς τὰς Συρακούσας.

λγ'. Καὶ περὶ τὰς αὐτὰς ἡμέρας καὶ οἱ Καμαριναῖοι ἀφικνοῦνται, αὐτοῖς βοηθοῦντες, πεντακόσιοι μὲν ὁπλῖται, τριακόσιοι δὲ ἀκοντισταὶ, καὶ τοξόται τριακόσιοι. ἔπεμψαν δὲ καὶ οἱ Γελῶοι ναυτικόν τε ἐς πέντε ναῦς, καὶ ἀκοντιστὰς τετρακοσίους, καὶ ἱππέας διακοσίους. σχεδὸν γάρ τοι ἤδη πᾶσα ἡ Σικελία, πλὴν Ἀκραγαντίνων· οὗτοι δ' οὐδὲ μεθ' ἑτέρων ἦσαν· οἱ δ' ἄλλοι ἐπὶ τοὺς Ἀθηναίους, μετὰ τῶν Συρακουσίων, οἱ πρότερον περιορῶμενοι, ξυστάντες ἐβοήθουν. καὶ οἱ μὲν Συρακούσιοι, ὡς αὐτοῖς τὸ ἐν τοῖς Σικελοῖς πάθος ἐγένετο, ἐπέσχοντο εὐθέως τοῖς Ἀθηναίοις ἐπιχειρεῖν. ὁ δὲ Δημοσθένης καὶ Εὐ-

derunt, omneſque legatos, praeter unum Corinthium. Hic vero eos, qui elapſi ſunt, ad mille & quingentos, Syracuſas deduxit.

XXXIII. Per eoſdem dies, Camarinaei etiam, qui opem ipſis Syracuſanis ferebant, quingenti gravis armaturae milites, & trecenti iaculatores, totidemque ſagittarii Syracuſas pervenerunt. Miſerunt & Geloi copias ad quinque naves explendas, & iaculatores quadringentos, & equites ducentos. Iam enim omnis propemodum Sicilia arma conſociavit, praeter Agrigentinos: iſti enim in partibus non erant, ſed ſe medios gerebant: ceteri vero, etiam qui hactenus belli eventum circumſpicientes exſpectaſſent, conſpiratione facta, Syracuſanis auxilium adverſus Athenienſes ferebant. Atque Syracuſani quidem, quod cladem iſtam apud Siculos accepiſſent, ab Athenienſibus protinus invadendis abſtinuerunt. Demoſthenes vero & Eurymedon,

ρυμέδων, ἑτοίμης ἤδη τῆς στρατιᾶς οὔσης ἐκ τῆς Κερκύρας καὶ ἀπὸ τῆς ἠπείρου, ἐπεραιώθησαν ξυμπάσῃ τῇ στρατιᾷ τὸν Ἰόνιον ἐπ' ἄκραν Ἰαπυγίαν. καὶ ὁρμηθέντες αὐτόθεν, κατίσχουσιν ἐς τὰς Χοιράδας νήσους Ἰαπυγίας· καὶ ἀκοντιστάς τε τινὰς τῶν Ἰαπύγων πεντήκοντα καὶ ἑκατὸν τοῦ Μεσσαπίου ἔθνους ἀναβιβάζονται ἐπὶ τὰς ναῦς· καὶ τῷ Ἄρτᾳ (ὅσπερ καὶ τοὺς ἀκοντιστὰς δυνάστης ὢν παρέσχετο αὐτοῖς) ἀνανεωσάμενοί τινα παλαιὰν φιλίαν, ἀφικνοῦνται ἐς Μεταπόντιον τῆς Ἰταλίας· καὶ τοὺς Μεταποντίους πείσαντες κατὰ τὸ ξυμμαχικὸν ἀκοντιστάς τε ξυμπέμπειν τριακοσίους καὶ τριήρεις δύο, καὶ ἀναλαβόντες ταῦτα, παρέπλευσαν ἐς Θουρίαν, καὶ καταλαμβάνουσι νεωστὶ στάσει τοὺς τῶν Ἀθηναίων ἐναντίους ἐκπεπτωκότας. καὶ βουλόμενοι, τὴν στρατιὰν αὐτόθι πᾶσαν ἀθροίσαντες, εἴτις ὑπελέλειπτο

cum exercitus ex Corcyra & ex continente collectus iam paratus esset, cum universis copiis Ionium mare traiecerunt, & appulerunt ad promontorium Iapygiam. Hinc vero profecti, ad Choeradas Iapygiae insulas appulerunt. Et paucos quosdam Iapygum iaculatores Messapiae gentis, numero centum & quinquaginta, in naves imposuerunt. Et renovata vetusta quadam amicitia cum Arta, (qui illis in locis tum imperitans iaculatores etiam istos ipsis praebuerat) ad Metapontium Italiae urbem appulerunt. Cum autem Metapontinos induxissent ad secum mittendos ex societatis iure trecentos iaculatores, & duas triremes; his in naves receptis, in agrum Thurium praetervecti sunt: ibique deprehenderunt Atheniensium adversarios per seditionem nuper ejectos. Quoniam autem volebant, omnibus copiis in unum ibi contractis, recognoscere, si quis relictus es-

ἐξετάσαι, καὶ τοὺς Θουρίους πεῖσαι σφίσι ξυστρατεύειν τε ὡς προθυμότατα, καὶ, ἐπειδήπερ ἐν τούτῳ τύχης εἰσὶ, τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους τοῖς Ἀθηναίοις νομίζειν, περιέμενον ἐν τῇ Θουρίᾳ, καὶ ἔπρασσον ταῦτα.

λδ'. Οἱ δὲ Πελοποννήσιοι, καὶ οἱ περὶ τὸν αὐτὸν χρόνον τοῦτον οἱ ἐν ταῖς πέντε καὶ εἴκοσι ναυσὶν, οἵπερ τῶν ὁλκάδων ἕνεκα τῆς ἐς Σικελίαν κομιδῆς ἀνθώρμουν πρὸς τὰς ἐν Ναυπάκτῳ ναῦς, παρασκευασάμενοι ὡς ἐπὶ ναυμαχίᾳ, καὶ προσπληρώσαντες ἔτι ναῦς, ὥστε ὀλίγῳ ἐλάσσους εἶναι αὐτοῖς τῶν Ἀττικῶν νεῶν, ὁρμίζονται κατὰ Ἐρινεὸν τῆς Ἀχαΐας ἐν τῇ Ῥυπικῇ. καὶ αὐτοῖς τοῦ χωρίου μηνοειδοῦς ὄντος ἐφ' ᾧ ὥρμουν, ὁ μὲν πεζὸς ἑκατέρωθεν προσβεβοηθηκότες τῶν τε Κορινθίων καὶ

set; simul etiam Thuriis perſuadere, ut quam alacerrime ad eandem militiam ſecum proficiſcerentur, & (quando eo fortunae veniſſent) eoſdem pro hoſtibus & pro amicis haberent, quos Athenienſes haberent: in agro Thurio ſubſederunt, atque in harum rerum peragendarum curam incubuerunt.

XXXIV. Peloponneſii vero, & qui in quinque & viginti navibus erant, qui onerariarum navium in Siciliam tendentium cauſa habebant ſtationes oppoſitas navibus, quae erant Naupacti, ſub idem tempus ſeſe ad navale proelium praepararunt, aliiſque navibus praeter eas, quas iam paratas habebant, inſtructis, adeo ut Atticis paulo pauciores eſſent, ad Erineum Achaiae oppidum in agro Rhypico ſitum appulſi ſtationem habuerunt. Quoniam autem locus ille, in quo ſtationem habebant, in lunae ſpeciem curvatus erat, peditatus quidem tum Corinthiorum, tum ſociorum indigenarum, qui ad opem ſuis ferendam con-

τῶν αὐτόθεν ξυμμάχων ἐπὶ ταῖς ἀνεχούσαις ἄκραις παρετέτακτο, αἱ δὲ νῆες τὸ μεταξὺ εἶχον ἐμφράξασαι. ἦρχε δὲ τοῦ ναυτικοῦ Πολυάνθης Κορίνθιος. οἱ δ' Ἀθηναῖοι ἐκ τῆς Ναυπάκτου τριάκοντα ναυσὶ καὶ τρισὶν (ἦρχε δὲ αὐτῶν Δίφιλος) ἐπέπλευσαν αὐτοῖς. καὶ οἱ Κορίνθιοι τὸ μὲν πρῶτον ἡσύχαζον, ἔπειτα ἀρθέντος αὐτοῖς τοῦ σημείου ἐπεὶ καιρὸς εὐδόκει εἶναι, ὥρμησαν ἐπὶ τοὺς Ἀθηναίους, καὶ ἐναυμάχουν. καὶ χρόνον ἀντεῖχον πολὺν ἀλλήλοις. καὶ τῶν μὲν Κορινθίων τρεῖς νῆες διαφθείρονται, τῶν δὲ Ἀθηναίων κατέδυ μὲν οὐδεμία ἁπλῶς, ἑπτὰ δέ τινες ἄπλοι ἐγένοντο, ἀντίπρωροι ἐμβαλλόμεναι, καὶ ἀναῤῥαγεῖσαι τὰς παρεξειρεσίας ὑπὸ τῶν Κορινθίων νεῶν, ἐπ' αὐτὸ τοῦτο παχυτέρας τὰς ἐπωτίδας ἐχουσῶν. ναυμαχήσαντες δὲ ἀντίπαλα μὲν, καὶ ὡς αὐτοὺς ἑκατέρους

venerat, utrinque in eminentibus promontoriis diſpoſitus erat: naves vero medium ſpatium tenebant obſtructum. Polyanthes autem Corinthius huius claſſis erat praefectus. Athenienſes vero cum tribus & triginta navibus, quarum dux erat Diphilus, Naupacto ſolventes, adverſus ipſos contenderunt. Et Corinthii principio quidem quievere. poſtea vero, cum ipſis ſignum datum fuiſſet, & tempus idoneum adeſſe viſum eſſet, magno cum impetu Athenienſibus obviam iverunt, & proelium committere coeperunt. Et diu alteri alteris reſtiterunt. Et Corinthiorum quidem tres naves profligatae fuerunt; Athenienſium vero nulla quidem prorſus eſt depreſſa, ſed ſeptem ad navigandum inutiles factae ſunt, quod Corinthiarum navium (quae hac ipſa de cauſa craſſiores epotides habebant) adverſis proris petitae, & in ipſis frontibus, ubi nullum eſt remigium, perruptae fuiſſent. Cum autem proelium commiſiſ-

ἀξιοῦν νικᾶν, ὅμως δὲ τῶν ναυαγίων κρατησάντων τῶν Ἀθηναίων, διά τε τὴν τοῦ ἀνέμου ἄπωσιν αὐτῶν ἐς τὸ πέλαγος, καὶ διὰ τὴν τῶν Κορινθίων οὐκέτι ἐπαγωγὴν, διεκρίθησαν ἐπ' ἀλλήλων· καὶ διῶξις οὐδεμία ἐγένετο, οὐδ' ἄνδρες οὐδετέρων ἑάλωσαν. οἱ μὲν γὰρ Κορίνθιοι καὶ Πελοποννήσιοι πρὸς τῇ γῇ ναυμαχοῦντες, ῥᾳδίως διεσώζοντο· τῶν δὲ Ἀθηναίων οὐδεμία κατέδυ ναῦς. ἀποπλευσάντων δὲ τῶν Ἀθηναίων ἐς τὴν Ναύπακτον, οἱ Κορίνθιοι εὐθὺς τροπαῖον ἔστησαν ὡς νικῶντες, ὅτι πλείους τῶν ἐναντίων ναῦς ἄπλους ἐποίησαν. καὶ νομίσαντες δι' αὐτὸ οὐχ ἡσσᾶσθαι, δι' ὅπερ οὐδ' οἱ ἕτεροι νικᾶν. οἵ τε γὰρ Κορίνθιοι ἡγήσαντο κρατεῖν εἰ μὴ πολὺ ἐκρατοῦντο, οἵ τ' Ἀθηναῖοι ἐνόμιζον ἡσσᾶσθαι εἰ μὴ πολὺ ἐνίκων. ἀποπλευσάντων δὲ τῶν Πελοποννησίων, καὶ τοῦ πεζοῦ δια-

sent ancipiti quidem Marte, & ita ut utrique victoriam sibi vindicarent, quia tamen Athenienses naufragiis sunt potiti, tum quod ventus in alnum ea propulisset, tum etiam quod Corinthii suum agmen adversus ipsos non amplius ducerent, alteri ab alteris diremti sunt, & neutri alteros persecuti, nec ulli ex alterutris capti. Nam Corinthii & Peloponnesii facile evadebant, quia proelium prope terram committebant: Athenienssium vero nulla navis est depressa. Cum autem Athenienses se Naupactum recepissent, Corinthii statim tropaeum ut victores erexerunt, quod plures hostilium navium ad navigationem inutiles reddidissent. Se enim propter hoc non superatos putabant, propter quod neutri se victores fuisse ducebant. Nam & Corinthii se victores fuisse duxissent, nisi longe victi fuissent; & Athenienses existimassem, se victos fuisse, nisi longe vicissent. Cum autem Peloponnesii discessissent, &

λυθέντος, οἱ Ἀθηναῖοι ἔστησαν τροπαῖον, καὶ αὐτοὶ ἐν τῇ Ἀχαΐᾳ ὡς νικήσαντες ἀπεῖχον τοῦ Ἐρινεοῦ, ἐν ᾧ οἱ Κορίνθιοι ὥρμουν ὡς εἴκοσι σταδίους. καὶ ἡ μὲν ναυμαχία οὕτως ἐτελεύτα.

λε'. Ὁ δὲ Δημοσθένης καὶ ὁ Εὐρυμέδων, ἐπειδὴ ξυστρατεύειν αὐτοῖς οἱ Θούριοι παρεσκευάσθησαν ἑπτακοσίοις μὲν ὁπλίταις, τριακοσίοις δὲ ἀκοντισταῖς, τὰς μὲν ναῦς παραπλεῖν ἐκέλευον ἐπὶ τῆς Κροτωνιάτιδος, αὐτοὶ δὲ τὸν πεζὸν πάντα ἐξετάσαντες πρῶτον ἐπὶ τῷ Συβάρει ποταμῷ, ἦγον διὰ τῆς Θουριάτιδος γῆς. καὶ ὡς ἐγένοντο ἐπὶ τῷ Ὑλίᾳ ποταμῷ, καὶ αὐτοῖς οἱ Κροτωνιάται προσπέμψαντες εἶπον οὐκ ἂν σφίσι βουλομένοις εἶναι διὰ τῆς γῆς σφῶν τὸν στρατὸν ἰέναι, ἐπικαταβάντες ηὐλίσαντο πρὸς τὴν θάλασσαν καὶ τὴν ἐκβολὴν τοῦ

peditatus dilapſus eſſet, Athenienſes & ipſi tanquam victores tropaeum in Achaia ſtatuerunt. Aberant autem ab Erineo, ubi Corinthii ſuae claſſis ſtationem habebant, viginti ferme ſtadiis. Atque pugna quidem navalis hunc exitum habuit.

XXXV. Demoſthenes vero & Eurymedon, poſteaquam Thurii parati fuerunt ad illius militiae ſocietatem ſequendam, cum ſeptingentis gravis armaturae militibus & trecentis iaculatoribus, claſſem quidem in oram Crotoniatidem praetervehi iuſſerunt; ipſi vero peditatum omnem, quem prius ad fluvium Sybarin recenſuerant, per agrum Thurium duxerunt. Cum autem ad Hyliam fluvium perveniſſent, & Crotoniatae ad eos praemiſiſſent, qui dicerent, praeter voluntatem ſuam fore, ſi per ſuum agrum ipſorum exercitus tranſiret, ad mare deſcenderunt, & ad Hyliae oſtium pernoctarunt; & naves in eundem locum

Ὑλίου, καὶ αἱ νῆες αὐτοῖς ἐς τὸ αὐτὸ ἀπήντων. τῇ δ' ὑστεραίᾳ ἀναβιβασάμενοι παρέπλεον, ἴσχοντες πρὸς ταῖς πόλεσι πλὴν Λοκρῶν, ἕως ἀφίκοντο ἐπὶ Πέτραν τῆς Ῥηγίνης.

Bell. Pelop. an. 19. Olymp. 91. 4. U. C. Varr. 341. Poſtlul. 16.

λστ'. Οἱ δὲ Συρακούσιοι, ἐν τούτῳ πυνθανόμενοι αὐτῶν τὸν ἐπίπλουν, αὖθις ταῖς ναυσὶν ἀποπειράσαι ἐβούλοντο, καὶ τῇ ἄλλῃ παρασκευῇ τοῦ πεζοῦ, ἥνπερ ἐπ' αὐτὸ τοῦτο, πρὶν ἐλθεῖν αὐτοὺς φθάσαι βουλόμενοι, ξυνέλεγον. παρεσκευάσαντο δὲ τό, τε ἄλλο ναυτικὸν, ὡς ἐκ τῆς προτέρας ναυμαχίας τὶ πλέον ἐνείδον σχήσοντες· καὶ τὰς πρῴρας τῶν νεῶν ξυντεμόντες ἐς ἔλασσον, στεριφωτέρας ἐποίησαν, καὶ τὰς ἐπωτίδας ἐπέθεσαν ταῖς πρῴραις παχείας· καὶ ἀντηρίδας ἀπ' αὐτῶν ὑπέτειναν πρὸς τοὺς τοίχους, ὡς ἐπὶ ἓξ πήχεις ἐντός τε καὶ ἔξωθεν. ὥπερ τρόπῳ καὶ οἱ Κορίνθιοι πρὸς τὰς ἐν τῇ Ναυπάκτῳ

ipſis obviam venerunt. Poſtridie vero, cum eas conſcendiſſent, abierunt, & ad ſingulas urbes, praeter Locros, appellebant, donec Petram Rhegini agri pervenerunt.

XXXVI. Syracuſani vero, cum interea ipſos contra ſe venire audiſſent, belli fortunam claſſe rurſus experiri voluerunt, alioque peditatus apparatu, quem hac ipſa de cauſa collegerant, quod ipſos ac novorum hoſtium adventum praevertere cuperent. Inſtruxerunt autem claſſem cum aliis rebus, ita ut ex ſuperiore navali proelio didicerant, ſe fore meliore conditione, tum etiam navium proris, quas decurtarunt, & firmiores reddiderunt, & proris impoſuerunt craſſas epotidas; iiſque tigna iunxerunt & intus & extra, quae uſque ad navium latera ſpatio fere ſenum cubitorum pertingerent. quo modo & Corinthii adverſus naves, quae ad Naupactum erant, ſuarum proris inſtructis

ναῦς ἐπεσκευασμένοι πρώραθεν ἐναυμάχουν. ἐνόμισαν γὰρ οἱ Συρακούσιοι, πρὸς τὰς τῶν Ἀθηναίων ναῦς, οὐχ ὁμοίως ἀντινεναυπηγημένας, ἀλλὰ λεπτὰ τὰ πρώραθεν ἐχούσας, διὰ τὸ μὴ ἀντιπρώροις μᾶλλον αὐτοὺς ἢ ἐκ περίπλου ταῖς ἐμβολαῖς χρῆσθαι, οὐκ ἔλασσον σχήσειν, καὶ τὴν ἐν τῷ μεγάλῳ λιμένι ναυμαχίαν οὐκ ἐν πολλῷ πολλαῖς ναυσὶν οὖσαν, πρὸς ἑαυτῶν ἔσεσθαι. ἀντίπρωροι γὰρ ταῖς ἐμβολαῖς χρώμενοι, ἀναῤῥήξειν τὰ πρώραθεν αὐτοῖς, στερίφοις καὶ παχέσι πρὸς κοῖλα καὶ ἀσθενῆ παρέχοντες τοῖς ἐμβόλοις· τοῖς δὲ Ἀθηναίοις οὐκ ἔσεσθαι σφῶν ἐν στενοχωρίᾳ οὔτε περίπλουν, οὔτε διέκπλουν, ὥπερ τῆς τέχνης μάλιστα ἐπίστευον. αὐτοὶ γὰρ κατὰ τὸ δυνατὸν, τὸ μὲν, οὐ δώσειν διεκπλεῖν, τὸ δὲ, τὴν

pugnaverant. Exiſtimarunt enim Syracuſani, adverſus Athenienſium naves, (quae non eodem modo adverſus Syracuſanorum naves erant aedificatae, ſed a prora partes graciles ac infirmas habebant, quod ipſi Athenienſes non tam adverſis proris, quam navibus circumactis, in hoſtilium navium latera incurrere conſueviſſent) ſe non deteriore conditione futuros, & navale proelium, quod in magno portu a multis navibus in non magno ſpatio committendum erat, pro ſe facturum putarunt. Se enim, adverſis proris incurrentes, diffracturos ipſorum proras; quod ſolidis craſſiſque roſtris in vacuas ac infirmas incurſuri eſſent: Athenienſibus vero in anguſto loci ſpatio nullam fore facultatem aut naves circumagendi, aut eas per mediam ſuam claſſem educendi; qua artificii parte potiſſimum illi confidebant. Se enim pro viribus hoc quidem praeſtituros, ut nullam ipſis per mediam ſuam claſſem tranſeundi facultatem darent; illud vero ab ipſis loci anguſtiis praeſtitum

στενοχωρίαν κωλύσειν ὥστε μὴ περιπλεῖν· τῇ τε πρότερον ἀμαθίᾳ τῶν κυβερνητῶν δοκούσῃ εἶναι τὸ ἀντίπρωρον ξυγκροῦσαι, μάλιστ' ἂν αὐτοὶ χρήσασθαι. πλεῖστον γὰρ ἐν αὐτῷ σχήσειν. τὴν γὰρ ἀνάκρουσιν οὐκ ἔσεσθαι τοῖς Ἀθηναίοις ἐξωθουμένοις ἄλλοσε ἢ ἐς τὴν γῆν, καὶ ταύτην δι' ὀλίγου καὶ ἐς ὀλίγον κατ' αὐτὸ τὸ στρατόπεδον τὸ ἑαυτῶν. τοῦ δ' ἄλλου λιμένος αὐτοὶ κρατήσειν, καὶ ξυμφερομένους αὐτοὺς, ἤν πη βιάζωνται, ἐς ὀλίγον τε καὶ πάντας ἐς τὸ αὐτὸ προσπίπτοντας ἀλλήλοις ταράξεσθαι· (ὅπερ καὶ ἔβλαπτε μάλιστα τοὺς Ἀθηναίους ἐν ἁπάσαις ταῖς ναυμαχίαις, οὐκ οὔσης αὐτοῖς ἐς πάντα τὸν λιμένα τῆς ἀνακρούσεως, ὥσπερ τοῖς Συρακουσίοις) περιπλεῦσαι δὲ ἐς τὴν εὐρυχωρίαν, σφῶν ἐχόντων τὴν ἐπίπλευσιν ἀπὸ τοῦ πελάγους τε καὶ ἀνά-

iri, quae illos impediturae eſſent, ne naves circumagerent. Quod autem prius gubernatorum inſcitia contigiſſe videbatur, ut adverſis proris cum hoſtibus confligerent, ſe hoc ipſo potiſſimum proelii genere ſperabant uſuros. Hac enim ratione ſe optima conditione futuros. Athenienſibus enim, ſi a ſe propellerentur, non fore facultatem retrocedendi alio, niſi ad terram, idque exiguo intervallo a mari diſtantem, & in exiguum loci ſpatium, iuxta ſua ipſorum caſtra. Cetero vero portu ſe potituros: at ipſos hoſtes, ſicubi premerentur, confertos in exiguo ſpatio, & omnes in eodem loco inter ſe concurrentes perturbatum iri: (quod etiam in omnibus navalibus proeliis plurimum Athenienſibus obfuit, quod ipſis in omnem portum, ut Syracuſanis, retrocedere non liceret) in apertum vero mare navibus circumactis evadendi facultatem non habituros, quod penes ſe futurum eſſet, & a pelago incurſionem in illos facere,

κρουσιν, οὐ δυνήσεσθαι αὐτοὺς, ἄλλως τε καὶ τοῦ Πλημμυρίου πολεμίου τε αὐτοῖς ἐσομένου, καὶ τοῦ στόματος οὐ μεγάλου ὄντος τοῦ λιμένος.

λζ'. Τοιαῦτα οἱ Συρακούσιοι πρὸς τὴν ἑαυτῶν ἐπιστήμην τε καὶ δύναμιν ἐπινοήσαντες, καὶ ἅμα τεθαρρηκότες μᾶλλον ἤδη ἀπὸ τῆς προτέρας ναυμαχίας, ἐπεχείρουν τῷ τε πεζῷ ἅμα καὶ ταῖς ναυσί· καὶ τὸν μὲν πεζὸν ὀλίγῳ πρότερον τὸν ἐκ τῆς πόλεως Γύλιππος προὐξαγαγὼν, προσῆγε τῷ τείχει τῶν Ἀθηναίων, καθόσον πρὸς τὴν πόλιν αὐτοῦ ἑώρα. καὶ οἱ ἀπὸ τοῦ Ὀλυμπιείου, οἵ τε ὁπλῖται ὅσοι ἐκεῖ ἦσαν καὶ οἱ ἱππεῖς καὶ ἡ γυμνητία τῶν Συρακουσίων ἐκ τοῦ ἐπὶ θάτερα προσῄει τῷ τείχει· αἱ δὲ νῆες μετὰ τοῦτο εὐθὺς ἐξέπλεον τῶν Συρακουσίων καὶ τῶν ξυμμάχων. καὶ οἱ Ἀθηναῖοι τοπρῶτον αὐτοὺς

& illinc ad ſua caſtra retrocedere, praecipue vero quod Plemmyrium ipſis infeſtum eſſet futurum, ſimul etiam quod portus oſtium non amplum eſſet.

XXXVII. Syracuſani igitur, cum haec excogitaſſent & priſtinae diſciplinae atque virtuti addidiſſent, ſimul etiam cum ex ſuperiore navali proelio maiorem fidentiam iam concepiſſent, pedeſtribus ſimul & maritimis copiis Athenienſes aggrediuntur. Et peditatum quidem Gylippus paulo prius ex urbe eductum admovit ad Athenienſium munitionem, ab ea parte, qua proſpectus in urbem patebat. Item qui apud Olympieum erant, cum gravis armaturae milites, qui illic erant, tum equites, & levis armatura Syracuſanorum, ad munitionem ab altera parte acceſſerunt. Poſtea vero confeſtim Syracuſanorum ſociorumque naves prodierunt. Athenienſes vero primum quidem eos cum ſolo peditatu belli fortunam tentaturos exiſtimabant; ſed

οἰόμενοι τῷ πεζῷ μόνῳ πειράσειν, ὁρῶντες δὲ καὶ τὰς ναῦς ἐπιφερομένας ἄφνω, ἐθορυβοῦντο· καὶ οἱ μὲν, ἐπὶ τὰ τείχη καὶ πρὸ τῶν τειχῶν τοῖς προσιοῦσιν ἀντιπαρετάσσοντο, οἱ δὲ [Ἀθηναῖοι] πρὸς τοὺς ἀπὸ τοῦ Ὀλυμπιείου καὶ τῶν ἔξω κατὰ τάχος χωροῦντας ἱππέας τε πολλοὺς καὶ ἀκοντιστὰς ἀντεπεξήεσαν. ἄλλοι δὲ τὰς ναῦς ἐπλήρουν, καὶ ἅμα ἐπὶ τὸν αἰγιαλὸν παρεβοήθουν, καὶ ἐπειδὴ πλήρεις ἦσαν, ἀνταν ῆγον πέντε καὶ ἑβδομήκοντα ναῦς· καὶ αἱ τῶν Συρακουσίων ἦσαν ὀγδοήκοντα μάλιστα.

Menſe Iulio.

λή. Τῇ δὲ ἡμέρᾳ ἐπιπολὺ προσπλέοντες, καὶ ἀναχρουόμενοι, καὶ πειράσαντες ἀλλήλων, καὶ οὐδέτεροι δυνάμενοι ἄξιόν τι λόγου παραλαβεῖν, εἰ μὴ ναῦν μίαν ἢ δύο τῶν Ἀθηναίων οἱ Συρακούσιοι καταδύσαντες, διεκρί-

cum naves quoque ſubito contra ſe venientes vidiſſent, perturbati ſunt. Et alii quidem ſupra munitiones & ante munitiones acie inſtructa ſteterunt adverſus hoſtes accedentes: Athenienſium vero alii adverſus equites & iaculatores multos, qui partim ex Olympeo, partim ex aliis locis extra ſitis, magna celeritate veniebant, prodierunt. alii vero naves inſtruebant, ſimul etiam ad litus ad opem ſuis ferendam accurrebant: poſtquam autem inſtructae fuerunt, quinque & ſeptuaginta naves adverſus hoſtem in altum duxerunt. Syracuſanorum vero erant circiter octoginta.

XXXVIII. Cum autem ad multum illius diei ſpatium mutuis incurſionibus ſe petiiſſent, & alteri ab alteris viciſſim repulſi fuiſſent, & utrique virtutis hoſtilis periculum mutuo feciſſent, & neutri aliquo praeclaro ac memoratu digno facinore edito victoriam ab adverſariis reportare potuiſſent, (niſi quod Syracuſani unam aut alteram

θησαν· καὶ ὁ πεζὸς ἅμα ἀπὸ τῶν τειχῶν ἀπῆλθε. τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακούσιοι ἡσύχαζον, οὐδὲν δηλοῦντες ὁποῖόν τι τὸ μέλλον ποιήσουσιν· ὁ δὲ Νικίας, ἰδὼν ἀντίπαλα τὰ τῆς ναυμαχίας γενόμενα, καὶ ἐλπίζων αὐτοὺς αὖθις ἐπιχειρήσειν, τούς τε τριηράρχους ἠνάγκαζεν ἐπισκευάζειν τὰς ναῦς, εἴτις τι ἐπεπονήκει, καὶ ὁλκάδας προώρμισε πρὸ τοῦ σφετέρου σταυρώματος, ὃ αὐτοῖς πρὸ τῶν νεῶν ἀντὶ λιμένος κλειστοῦ ἐν τῇ θαλάσσῃ ἐπεπήγει. διαλιπούσας δὲ τὰς ὁλκάδας ὅσον δύο πλέθρα ἀπ' ἀλλήλων κατέστησεν, ὅπως εἴτις βιάζοιτο ναῦς, εἴη κατάφευξις ἀσφαλὴς, καὶ πάλιν καθ' ἡσυχίαν ἔκπλους. παρασκευαζόμενοι δὲ ταῦτα ὅλην ἡμέραν διετέλεσαν οἱ Ἀθηναῖοι μέχρι νυκτός.

λθ'. Τῇ δ' ὑστεραίᾳ οἱ Συρακούσιοι τῆς μὲν ὥρας πρωϊαίτερον, τῇ δὲ ἐπιχειρήσει τῇ αὐτῇ τοῦ τε πεζοῦ καὶ

'Athenienſium navem depreſſerunt) alteri ab alteris diremti diſceſſerunt: & peditatus ſimul a munitionibus Athenienſium abſceſſit. Poſtridie vero Syracuſani quidem quieverunt, nullo modo declarantes, quidnam eſſent acturi. Nicias vero, cernens navale proelium aequo Marte commiſſum fuiſſe, & exiſtimans, ipſos rurſus idem tentaturos, trierarchos ad naves reficiendas adegit, ſi qua damnum aliquod accepiſſet, & onerarias produxit ante ſuum vallum, quod ab ipſis, portus concluſi loco, ante naves in mari defixum fuerat. onerarias vero binum circiter iugerum ſpatio inter ſe diſtantes collocavit, ut, ſi qua navis premeretur, ipſi tutum eſſet refugium, & rurſus per otium exeundi facultas. Athenienſes autem in his apparandis totum diem ad noctem uſque conſumſerunt.

XXXIX. Poſtridie vero Syracuſani maturius quidem,

τοῦ ναυτικοῦ προσέμισγον τοῖς Ἀθηναίοις. καὶ ἀντικατα-
στάντες ταῖς ναυσὶ, τὸν αὐτὸν τρόπον αὖθις ἐπιπολὺ διῆ-
γον τῆς ἡμέρας πειρώμενοι ἀλλήλων· πρὶν δὴ Ἀρίστων
ὁ Πυῤῥίχου Κορίνθιος, ἄριστος ὢν κυβερνήτης τῶν μετὰ
Συρακουσίων, πείθει τοὺς σφετέρους τοῦ ναυτικοῦ ἄρ-
χοντας πέμψαντας ὡς τοὺς ἐν τῇ πόλει ἐπιμελομένους,
κελεύειν ὅτι τάχιστα τὴν ἀγορὰν τῶν ὠνουμένων παρὰ
τὴν θάλασσαν μεταστῆσαι κομίσαντας, καὶ ὅσα τις
ἔχει ἐδώδιμα, πάντας ἐκεῖσε φέροντας ἀναγκάσαι πω-
λεῖν, ὅπως αὐτοὺς ἐκβιβάσαντες τοὺς ναύτας, εὐθὺς
παρὰ τὰς ναῦς ἀριστοποιήσωνται, καὶ δι' ὀλίγου αὖθις
καὶ αὐθήμερον ἀπροσδοκήτοις τοῖς Ἀθηναίοις ἐπιχειρῶσι.

μ'. Καὶ οἱ μὲν, πεισθέντες ἔπεμψαν ἄγγελον, καὶ
ἡ ἀγορὰ παρεσκευάσθη· καὶ οἱ Συρακούσιοι ἐξαίφνης

quam ante, ſed tamen eodem & peditatus & claſſis conatu cum Athenienſibus conflixerunt. Cum autem adverſis navibus ſe mutuo oppugnare coepiſſent, eodem modo rurſus magnam illius diei partem ſe invicem laceſſendo conſumſerunt; donec Ariſton Pyrrhichi filius, Corinthius, omnium, qui cum Syracuſanis erant, optimus gubernator, ſuaſit primis ſuae claſſis ducibus, ut mitterent ad eos, quibus in urbe huius rei cura commiſſa erat, qui imperarent ipſis, ut quam celerrime rerum venalium forum mutarent, & res venales ad mare transferrent, & quaecunque quis eſculenta haberet, omnes cogerent haec illuc ferre & vendere, ut nautae illic expoſiti, ſtatim iuxta naves pranderent, & intra breve ſpatium rurſus, idque eodem die, Athenienſes nihil huiuſmodi exſpectantes aggrederentur.

XL. Atque hi quidem huius verbis adducti nuntium miſerunt, & mercatus apparatus eſt. Et Syracuſani repente

πρύμναν κρουσάμενοι, πάλιν πρὸς τὴν πόλιν ἔπλευσαν. καὶ εὐθὺς ἐκβάντες, αὐτοῦ ἄριστον ἐποιοῦντο. οἱ δ' Ἀθηναῖοι, νομίσαντες αὐτοὺς, ὡς ἡσσημένους, σφῶν πρὸς τὴν πόλιν ἀνακρούσασθαι, καθ' ἡσυχίαν ἐκβάντες, τά τε ἄλλα διεπράσσοντο, καὶ τὰ ἀμφὶ τὸ ἄριστον, ὡς τῆς γε ἡμέρας ταύτης οὐκέτι οἰόμενοι ἂν ναυμαχῆσαι. ἐξαίφνης δὲ οἱ Συρακούσιοι πληρώσαντες τὰς ναῦς, ἐπέπλεον αὖθις. οἱ δὲ, διὰ πολλοῦ θορύβου καὶ ἄσιτοι οἱ πλείους, σὺδενὶ κόσμῳ ἐσβάντες, μόγις ποτὲ ἀντανήγοντο· καὶ χρόνον μέν τινα ἀπέσχοντο ἀλλήλων φυλασσόμενοι, ἔπειτα οὐκ ἐδόκει τοῖς Ἀθηναίοις, αὐτοῦ ὑπὸ σφῶν αὐτῶν διαμέλλοντας κόπῳ ἁλίσκεσθαι, ἀλλ' ἐπιχειρεῖν ὅτι τάχιστα· καὶ ἐπιφερόμενοι ἐκ παρακελεύσεως, ἐναυμάχουν. οἱ δὲ Συρακούσιοι δεξάμενοι [ἠ-

in puppim remigantes & ceſſim euntes, urbem verſus navigando ſe receperunt. Et ſtatim exſcenſu facto, ibi prandium ſumſerunt. Athenienſes vero exiſtimantes, ipſos, ut a ſe victos, ad ſuam urbem in puppim remigantes ſeſe recipere, per otium in litus egreſſi, cum ad alia, tum ad prandium expediendum ſe contulerunt, quod nullum navale proelium amplius eo die ſe commiſſuros putarent. At Syracuſani repente navibus inſtructis in eos rurſus invehuntur. Illi vero magno cum tumultu, & plerique ieiuni, nullo ordine naves conſcenderunt, & aegre tandem obviam ipſis iverunt. Et cum aliquamdiu ſibi caventes, a ſe mutuo abſtinuiſſent; poſtea placuit Athenienſibus non diutius ibi cunctari, ſed quam celerrime hoſtes aggredi, ne ſua ipſorum culpa laſſitudine confecti, caperentur. Quamobrem dato ſigno ingruentes pugnare coeperunt. Syracuſani vero illorum impetum excipientes, eos propulſabant;

μύνοντο,] καὶ ταῖς τε ναυσὶν ἀντιπρώροις χρώμενοι, ὥσπερ διενοήθησαν, τῶν ἐμβολῶν τῇ παρασκευῇ ἀνερρήγνυσαν τὰς τῶν Ἀθηναίων ναῦς ἐπιπολὺ τῆς παρεξειρεσίας· καὶ οἱ ἀπὸ τῶν καταστρωμάτων αὐτοῖς ἀκοντίζοντες, μεγάλα ἔβλαπτον τοὺς Ἀθηναίους· πολὺ δ' ἔτι μείζω οἱ ἐν τοῖς λεπτοῖς πλοίοις περιπλέοντες τῶν Συρακουσίων, καὶ ἐς τε τοὺς ταρσοὺς ὑποπίπτοντες τῶν πολεμίων νεῶν, καὶ ἐς τὰ πλάγια παραπλέοντες, καὶ ἐξ αὐτῶν ἐς τοὺς ναύτας ἀκοντίζοντες.

μά. Τέλος δὲ τούτῳ τῷ τρόπῳ κατὰ κράτος ναυμαχοῦντες οἱ Συρακούσιοι ἐνίκησαν· καὶ οἱ Ἀθηναῖοι τραπόμενοι διὰ τῶν ὁλκάδων τὴν κατάφευξιν ἐποιοῦντο ἐς τὸν ἑαυτῶν ὅρμον. αἱ δὲ τῶν Συρακουσίων νῆες μέχρι μὲν τῶν ὁλκάδων ἐπεδίωκον, ἔπειτα αὐτοὺς αἱ κεραῖαι

& adverſis ſuarum navium proris utentes, (quemadmodum facere ſtatuerant) quas ita paraverant, ut ad incurſiones faciendas eſſent idoneae, lacerabant Athenienſium naves in magna prorarum parte, ubi nullum erat remigium. Et qui ex tabulatis ipſos iaculis petebant, Athenienſibus vehementer nocebant. Sed longe magis illi Syracuſani, qui exiguis navigiis circumvehebantur, & ordines ac ſeriem remorum hoſtilium navium ſubibant, & ad earum latera praetervehebantur, & ex ipſis navigiis in nautas miſſilia iaciebant.

XLI. Tandem autem Syracuſani totis viribus hoc modo pugnantes vicerunt: Athenienſes vero in fugam verſi, per onerariarum navium praeſidium in ſuam ſtationem confugerunt. Syracuſanorum vero naves hoſtem inſecutae ſunt uſque ad illas onerarias naves; deinde antennae, quae ex onerariis navibus, in introitu, altius ſublatae ſta-

ὑπὲρ τῶν ἐσπλων αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι ἠρμέναι ἐκώλυον. δύο δὲ νῆες τῶν Συρακουσίων ἐπαιρόμεναι τῇ νίκῃ προσέμιξαν αὐτῶν ἐγγὺς, καὶ διεφθάρησαν, καὶ ἡ ἑτέρα αὐτοῖς ἀνδράσιν ἑάλω. καταδύσαντες δ' οἱ Συρακούσιοι τῶν Ἀθηναίων ἑπτὰ ναῦς, καὶ κατατραυματίσαντες πολλὰς, ἄνδρας τε τοὺς μὲν ζωγρήσαντες, τούς τε ἀποκτείναντες, ἀπεχώρησαν· καὶ τροπαιά τε ἀμφοτέρων τῶν ναυμαχιῶν ἔστησαν, καὶ τὴν ἐλπίδα ἤδη ἐχυρὰν εἶχον ταῖς μὲν ναυσὶ πολὺ κρείσσους εἶναι, ἐδόκουν δὲ καὶ τὸ πεζὸν χειρώσεσθαι. καὶ οἱ μὲν, ὡς ἐπιθησόμενοι κατ' ἀμφότερα παρεσκευάζοντο αὖθις.

μβ'. Ἐν τούτῳ δὲ Δημοσθένης καὶ Εὐρυμέδων, ἔχοντες τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν παραγίγνονται, ναῦς τε τρεῖς καὶ ἑβδομήκοντα μάλιστα ξὺν ταῖς ξενικαῖς, Iulio excunte.

bant, unde plumbei delphines ad demergendas ſubeuntes naves pendebant, ipſos ulterius progredi prohibuerunt. Duae vero Syracuſanorum naves, victoria feroces, ad illas propius acceſſerunt, atque profligatae fuerunt; & earum altera una cum ipſis viris capta fuit. At Syracuſani, ſeptem navibus Athenienſium depreſſis, multiſque laceratis, viriſque partim captis, partim occiſis, abierunt; & utriuſque pugnae navalis tropaea erexerunt, certamque ſpem animo iam conceperant, ſe Athenienſibus claſſe longe ſuperiores fore. Exiſtimabant autem, ipſum etiam peditatum a ſe ſubactum iri. Atque hi quidem, ut hoſtem utrinque rurſus aggreſſuri, ſeſe praeparabant.

XLII. Interea vero Demoſthenes & Eurymedon cum auxilio, quod ab Athenienſibus acceptum adducebant, advenerunt, navibus ferme tribus & ſeptuaginta, una cum peregrinis, & fere cum quinque millibus gravis armatu-

καὶ ὁπλίτας περὶ πενταχισχιλίους ἑαυτῶν τε καὶ τῶν ξυμμάχων· ἀκοντιστάς τε βαρβάρους καὶ Ἕλληνας οὐκ ὀλίγους, καὶ σφενδονήτας καὶ τοξότας, καὶ τὴν ἄλλην παρασκευὴν ἱκανήν. καὶ τοῖς μὲν Συρακουσίοις καὶ ξυμμάχοις κατάπληξις ἐν τῷ αὐτίκα οὐκ ὀλίγη ἐγένετο, εἰ πέρας μηδὲν ἔσται σφίσι τοῦ ἀπαλλαγῆναι τοῦ κινδύνου· ὁρῶντες οὔτε διὰ τὴν Δεκέλειαν τειχιζομένην οὐδὲν ἧσσον στρατὸν ἴσον καὶ παραπλήσιον τῷ προτέρῳ ἐπεληλυθότα, τήν τε τῶν Ἀθηναίων δύναμιν πανταχόσε πολλὴν φαινομένην. τῷ δὲ προτέρῳ στρατεύματι τῶν Ἀθηναίων, ὡς ἐκ κακῶν, ῥώμη τις ἐγεγένητο. ὁ δὲ Δημοσθένης, ἰδὼν ὡς εἶχε τὰ πράγματα, καὶ νομίσας οὐχ οἷόν τε εἶναι διατρίβειν, οὐδὲ παθεῖν ὅπερ ὁ Νικίας ἔπαθεν· ἀφικόμενος γὰρ τοπρῶτον ὁ Νικίας φοβερὸς, ὡς οὐκ εὐθὺς προσέκειτο ταῖς Συρακούσαις, ἀλλ' ἐν Κα-

rae militum, quos tam ex ſuis popularibus, quam ex ſociis, collegerant. Praeterea cum iaculatoribus barbaris & Graecis non paucis, nec non funditoribus & ſagittariis, & reliquo apparatu, quanto opus erat. Quamobrem Syracuſanorum & ſociorum animos non exiguus pavor tunc invaſit, ſi nullus periculi devitandi finis ſibi futurus eſſet. Videbant enim, quamvis Decelea fuiſſet munita, nihilo tamen minus exercitum parem atque ſimilem priori contra ſe veniſſe, & Athenienſium vires undique magnas apparere. Superiori vero Athenienſium exercitui, ut in malis, quoddam animi robur acceſſit. Demoſthenes autem, cum vidiſſet, quo in ſtatu res eſſent, & exiſtimaſſet nullo modo ſibi licere tempus terere, & committere quod Nicias commiſerat: (Nicias enim, cum initio formidabilis illuc appuliſſet, quia Syracuſas non protinus eſt adortus,

τάνη διεχείμαζεν, ὑπερώφθη τε, καὶ ἔφθασεν αὐτὸν ἐκ τῆς Πελοποννήσου στρατιᾷ ὁ Γύλιππος ἀφικόμενος. ἦν οὐδ' ἂν μετέπεμψαν οἱ Συρακούσιοι, εἰ ἐκεῖνος εὐθὺς ἐπέκειτο. ἱκανοὶ γὰρ αὐτοὶ οἰόμενοι εἶναι, ἅμα τ' ἂν ἔμαθον ἥσσους ὄντες, καὶ ἀποτετειχισμένοι ἂν ἦσαν· ὥστε μηδ' εἰ μετέπεμψαν, ἔτι ὁμοίως ἂν αὐτοὺς ὠφελεῖν. ταῦτα οὖν ἀνασκοπῶν ὁ Δημοσθένης, καὶ γιγνώσκων ὅτι καὶ αὐτὸς ἐν τῷ παρόντι, τῇ πρώτῃ ἡμέρᾳ μάλιστα δεινότατός ἐστι τοῖς ἐναντίοις, ἐβούλετο ὅτι τάχος ἀποχρήσασθαι τῇ παρούσῃ τοῦ στρατεύματος ἐκπλήξει. καὶ ὁρῶν τὸ παρατείχισμα τῶν Συρακουσίων, ᾧ ἐκώλυσαν περιτειχίσαι σφᾶς τοὺς Ἀθηναίους, ἁπλοῦν τε ὄν, καὶ εἰ ἐπικρατήσειέ τις τῶν τε Ἐπιπολῶν τῆς ἀναβάσεως, καὶ αὖθις τοῦ ἐν αὐταῖς στρατοπέδου, ῥᾳδίως

sed Catanae hibernavit, in contemtionem apud hoſtes venit; eumque Gylippus, qui copias ex Peloponneſo ducebat, antevertit. Quas ne arceſſiſſent quidem Syracuſani, ſi ille confeſtim invaſiſſet. Nam cum ipſi ſe ſatis virium habere putarent, uno eodemque tempore ſe illis inferiores eſſe cognoviſſent, & circumvallati fuiſſent. Quare ne ſi arceſſiſſent quidem, ipſos amplius aeque ac ante iuvare potuiſſet.) Demoſthenes igitur, cum haec conſideraret, & ſciret, ſe quoque in praeſentia, primo die maxime formidabilem hoſtibus eſſe, praeſenti ſuarum copiarum terrore quam celerrime uti volebat. Cum autem animadverteret, directum Syracuſanorum murum prope ſuas munitiones exſtructum, quo ſe ab Athenienſibus circumvallari prohibuerant, ſimplicem eſſe, &, ſi quis Epipolarum aſcenſum occupaſſet, & caſtra, quae in ipſis erant, hunc facile captum iri: (nullum enim fore putabat, qui ſuorum im-

ἂν αὐτὸ λῆψεν, (οὐδὲ γὰρ ὑπομεῖναι ἂν σφᾶς οὐδένα) ἠπείγετο ἐπιθέσθαι τῇ πείρᾳ· καί [οἱ] ξυντομωτάτην ἠγεῖτο διαπολέμησιν. ἢ γὰρ κατορθώσας ἥξειν Συρακούσας, ἢ ἀπάξειν τὴν στρατιὰν, καὶ οὐ τρίβεσθαι ἄλλως Ἀθηναίους τε τοὺς ξυστρατευομένους καὶ τὴν ξύμπασαν πόλιν. πρῶτον μὲν οὖν τήν τε γῆν ἐξελθόντες τῶν Συρακουσίων ἔτεμνον οἱ Ἀθηναῖοι περὶ τὸν Ἄναπον, καὶ τῷ στρατεύματι ἐπεκράτουν, ὥσπερ τοπρῶτον, τῷ τε πεζῷ καὶ ταῖς ναυσίν. οὐδὲ γὰρ καθ' ἑκάτερα οἱ Συρακούσιοι ἀντεπεξῆσαν, ὅτι μὴ τοῖς ἱππεῦσι καὶ ἀκοντισταῖς ἀπὸ τοῦ Ὀλυμπιείου.

μγ'. Ἔπειτα μηχαναῖς ἔδοξε τῷ Δημοσθένει πρότερον ἀποπειράσαι τοῦ ἀποτειχίσματος. ὡς δὲ αὐτῷ προσαγαγόντι κατεκαύθησάν τε ὑπὸ τῶν ἐναντίων ἀπὸ τοῦ τείχους ἀμυνομένων αἱ μηχαναὶ, καὶ τῇ ἄλλῃ στρα-

petum auderet ſuſtinere) rem aggredi, periculumque facere properabat; breviſſimoque temporis ſpatio bellum a ſe confectum iri ſperabat. Aut enim re feliciter geſta Syracuſas in ſuam poteſtatem venturas, aut copias a ſe abductum iri, nec univerſos Athenienſes, tam eos, qui militiae, quam eos, qui domi erant, fruſtra attritum iri. Primum igitur ex navibus egreſſi Athenienſes Syracuſanorum agrum, qui circum Anapum erat, vaſtare coeperunt, & pedeſtribus navalibuſque copiis, ut ante, ſuperiores erant. Adverſus enim neutras copias Syracuſani prodierunt, niſi cum equitibus & iaculatoribus, qui ex Olympieo venerant.

XLIII. Deinde Demoſtheni, priuſquam Epipolas aggrederetur, illam munitionem machinis tentare placuit. Sed cum machinae, ab ipſo ad munitionem admotae, crematae fuiſſent ab adverſariis, qui ex muris ſe defendebant,

τιᾷ πολλαχῇ προσβάλλοντες ἀπεκρούοντο, οὐκέτι ἐδόκει διατρίβειν· ἀλλὰ πείσας τόν τε Νικίαν καὶ τοὺς ἄλλους ξυνάρχοντας, ὡς ἐπενόει τὴν ἐπιχείρησιν τῶν Ἐπιπολῶν ἐποιεῖτο. καὶ ἡμέρας μὲν ἀδύνατα ἐδόκει εἶναι λαθεῖν προσελθόντας τε καὶ ἀναβάντας· παραγγείλας δὲ πενθ' ἡμερῶν σιτία, καὶ τοὺς λιθολόγους, καὶ τέκτονας πάντας λαβών, καὶ ἄλλην παρασκευὴν τοξευμάτων τε, καὶ ὅσα ἔδει, ἢν κρατῶσι, τειχίζοντας ἔχειν· αὐτὸς μὲν ἀπὸ τοῦ πρώτου ὕπνου, καὶ Εὐρυμέδων, καὶ Μένανδρος, ἀναλαβὼν τὴν πᾶσαν στρατιὰν, ἐχώρει πρὸς τὰς Ἐπιπολάς. Νικίας δὲ ἐν τοῖς τείχεσιν ὑπελέλειπτο. καὶ ἐπειδὴ ἐγένοντο πρὸς αὐταῖς κατὰ τὸν Εὐρύηλον (ᾗπερ καὶ ἡ πρότερα στρατιὰ τοπρῶτον ἀνέβη) λανθάνουσί τε τοὺς φύλακας τῶν Συρακουσίων, καὶ

cum etiam ceterae eius copiae, quae munitionem variis in partibus oppugnabant, ab hoſtibus repellerentur, tempus non amplius terendum eſſe cenſuit. Quare cùm rem Niciae ceteriſque collegis perſuaſiſſet, Epīpolas, ut cogitarat, aggredi ſtatuit. Ceterum interdiu quidem nullo modo fieri poſſe videbatur, ut clam accederent & aſcenderent. Cum igitur edixiſſet militibus, ut ſecum ferrent quinque dierum cibaria, cum etiam aedium ſtructores omneſque fabros aſſumſiſſet, & ceterum miſſilium apparatum, & omnia, quaecunque ad munitiones exſtruendas neceſſaria futura erant, ſi eo loco potiti fuiſſent; ipſe quidem a primo ſomno, & Eurymedon, & Menander, omnibus copiis aſſumtis, ad Epipolas contendit. Nicias vero in munitionibus remanſit. Cum autem ad ipſas Epipolas acceſſiſſent per Euryelum, (qua etiam prior exercitus prius aſcenderat) Syracuſanorum coſtodes latuerunt; ipſorumque

προσβάντες, τὸ τείχισμα ὃ ἦν αὐτόθι τῶν Συρακουσίων, αἱροῦσι, καὶ ἄνδρας [τινὰς] τῶν Φυλάκων ἀποκτείνουσιν· οἱ δὲ πλείους, διαφυγόντες εὐθὺς πρὸς τὰ στρατόπεδα, ἃ ἦν ἐπὶ τῶν Ἐπιπολῶν τρία [ἐν προτειχίσμασιν,] ἓν μὲν τῶν Συρακουσίων, ἓν δὲ τῶν ἄλλων Σικελιωτῶν, ἓν δὲ τῶν ξυμμάχων, ἀγγέλλουσι τὴν ἔφοδον. καὶ τοῖς ἑξακοσίοις τῶν Συρακουσίων, οἳ καὶ πρῶτοι κατὰ τοῦτο τὸ μέρος τῶν Ἐπιπολῶν φύλακες ἦσαν, ἔφραζον. οἱ δ' ἐβοήθουν τ' εὐθὺς, καὶ αὐτοῖς ὁ Δημοσθένης καὶ οἱ Ἀθηναῖοι ἐντυχόντες, ἀμυνομένους προθύμως ἔτρεψαν. καὶ αὐτοὶ μὲν εὐθὺς ἐχώρουν ἐς τὸ πρόσθεν ὅπως τῇ παρούσῃ ὁρμῇ τοῦ περαίνεσθαι ὧν ἕνεκα ἦλθον μὴ βραδεῖς γένωνται. ἄλλοι δὲ τὸ ἀπὸ τῆς πρώτης παρατείχισμα τῶν Συρακουσίων, οὐχ ὑπομενόντων τῶν Φυλάκων, ἥρουν τε, καὶ τὰς ἐπάλξεις ἀπέσυρον. οἱ δὲ

munitionem, quae illic erat, aggreſſi ceperunt, & nonnullos de cuſtodibus interfecerunt. At ipſorum plerique, qui confeſtim diffugerant ad caſtra, (quae in ipſis Epipolis erant terna, in urbis propugnaculis, una quidem Syracuſanorum, altera vero ceterorum Sicilienſium, & tertia aliorum ſociorum,) hoſtium adventum ſuis nuntiarunt. Et praecipue ſexcentis illis Syracuſanis, qui etiam primi in hac Epipolarum parte excubabant, hoſtes introiiſſe ſignificarunt. Hi vero confeſtim ad opem ſuis ferendam accurrerunt; ſed Demoſthenes & Athenienſes eos nacti, quamvis ſtrenue reſiſterent, tamen fugarunt. Atque ipſi quidem confeſtim ulterius ire perrexerunt, ne praeſens ille animorum ardor reſtingueretur, atque res, quarum cauſa venerant, non perficerentur. Alii vero munitionem Syracuſanorum, quam initio aggreſſi fuerant, a cuſtodibus

Συρακούσιοι καὶ οἱ ξύμμαχοι, καὶ ὁ Γύλιππος καὶ οἱ μετ' αὐτοῦ ἐβοήθουν ἐκ τῶν προτειχισμάτων. καὶ ἀδοκήτου τοῦ τολμήματος σφίσιν ἐν νυκτὶ γενομένου, προσέβαλλόν τε τοῖς Ἀθηναίοις ἐκπεπληγμένοι, καὶ βιασθέντες ὑπ' αὐτῶν, τοπρῶτον ὑπεχώρησαν. προϊόντων δὲ τῶν Ἀθηναίων ἐν ἀταξίᾳ μᾶλλον ἤδη ὡς κεκρατηκότων, καὶ βουλομένων διὰ παντὸς τοῦ μήπω μεμαχημένου τῶν ἐναντίων ὡστάχιστα διελθεῖν, (ἵνα μὴ ἀνέντων σφῶν τῆς ἐφόδου αὖθις ξυστραφῶσιν) οἱ Βοιωτοὶ πρῶτοι αὐτοῖς ἀντέσχον, καὶ προσβαλόντες ἔτρεψάν τε καὶ ἐς φυγὴν κατέστησαν.

μδ'. Καὶ ἐνταῦθα ἤδη ἐν πολλῇ ταραχῇ καὶ ἀπορίᾳ ἐγίγνοντο οἱ Ἀθηναῖοι, ἣν οὐδὲ πυθέσθαι ῥᾴδιον ἦν οὐδ' ἀφ' ἑτέρων ὅτῳ τρόπῳ ἕκαστα ξυνηνέχθη. ἐν μὲν γὰρ ἡμέρᾳ σαφέστερα μὲν, ὅμως δὲ οὐδὲ ταῦτα οἱ παραγε- Iul. fin.

desertam ceperunt, pinnasque detrahebant. Syracusani vero, & socii, & Gylippus, eiusque milites, opem ex propugnaculis ferebant. Quoniam autem hoc audax hostium facinus ipsis inexspectatum noctu contigerat, Athenienses invaserunt timore perculsi; & ab ipsis repulsi, primum pedem retulerunt. Dum autem Athenienses quasi victores nullo ordine iam longius progrederentur, & omnes hostium munitiones nondum oppugnatas perrumpere quam celerrime vellent, (ne, se de impressione remittentibus, Syracusani rursus conglobarentur) ipsis Boeoti primi restiterunt, & aggressi fuderunt, ac in fugam coniecerunt.

XLIV. Hic vero Athenienses iam in magna perturbatione & consilii inopia constituti sunt, quam vel ex alterutris intelligere non facile fuit, ut certo sciatur, quonam modo singula contigerint. Nam interdiu, certiora

γόμενοι πάντα, πλὴν τὸ καθ' ἑαυτὸν ἕκαστος μόγις οἶδεν· ἐν δὲ νυκτομαχίᾳ (ἡ μόνη δὴ στρατοπέδων μεγάλων ἐν τῷδε τῷ πολέμῳ ἐγένετο) πῶς ἄν τις σαφῶς τι εἰδείη; ἦν μὲν γὰρ σελήνη λαμπρὰ, ἑώρων δὲ οὕτως ἀλλήλους ὡς ἐν σελήνῃ εἰκὸς τὴν μὲν ὄψιν τοῦ σώματος προσρᾶν, τὴν δὲ γνῶσιν τοῦ οἰκείου ἀπιστεῖσθαι. ὁπλῖται δὲ ἀμφοτέρων οὐκ ὀλίγοι ἐν στενοχωρίᾳ ἀνεστρέφοντο. καὶ τῶν Ἀθηναίων οἱ μὲν ἤδη ἐνικῶντο, οἱ δὲ ἔτι τῇ πρώτῃ ἐφόδῳ ἀήσσητοι ἐχώρουν. πολὺ δὲ καὶ τοῦ ἄλλου στρατεύματος αὐτοῖς τὸ μὲν ἄρτι ἀναβεβήκει, τὸ δ' ἔτι προσανήει· ὥστ' οὐκ ἠπίσταντο πρὸς ὅ, τι χρὴ χωρῆσαι. ἤδη γὰρ τὰ πρόσθεν τῆς τροπῆς γεγενημένης ἐτετάραχτο πάντα, καὶ χαλεπὰ ἦν ὑπὸ τῆς βοῆς δια-

quidem, ſed tamen ne haec quidem omnia noverunt illi, qui rebus gerendis interfuerunt: ſed vix unuſquiſque novit res in ea parte geſtas, in qua ipſe fuit. At in nocturna pugna (quae ſola in hoc bello inter magnos exercitus tunc eſt commiſſa) qua ratione quis aliquid certo ſcire poſſit? Nam luna quidem fulgebat: ſed ita ſe invicem conſpiciebant, ut ad lunam credibile eſt. nam ipſam quidem corporis ſpeciem proſpiciebant; ſed amicum ab hoſte non diſcernebant. Utrorumque vero non pauci gravis armaturae milites in anguſto loci ſpatio verſabantur. Et Athenienſium alii quidem iam vincebantur, alii vero ſua prima impreſſione adhuc invicti pergebant. Multi etiam ex reliquo exercitu ad ipſos partim quidem iam aſcenderant, partim vero iam adventabant; adeo ut neſcirent, quonam tendere deberent. Nam propter fugam, in quam primum ipſorum agmen ab hoſte coniectum fuerat, omnia perturbata erant, & propter ingentem clamorem difficile digno-

γνῶναι. οἵ τε γὰρ Συρακούσιοι καὶ οἱ ξύμμαχοι κρατοῦντες παρεκελεύοντό τε, καὶ βοῇ οὐκ ὀλίγῃ χρώμενοι, (ἀδύνατον ὂν ἐν νυκτὶ ἄλλῳ τῳ σημῆναι) καὶ ἅμα τοὺς προσφερομένους ἐδέχοντο· οἵ τε Ἀθηναῖοι ἐζήτουν τε σφᾶς αὐτοὺς, καὶ πᾶν τὸ ἐναντίον, καὶ εἰ φίλιον εἴη, τῶν ἤδη πάλιν φευγόντων πολέμιον ἐνόμιζον. καὶ τοῖς ἐρωτήμασι τοῦ ξυνθήματος πυκνοῖς χρώμενοι, διὰ τὸ μὴ εἶναι ἄλλῳ τῳ γνωρίσαι, σφίσι τε αὐτοῖς θόρυβον πολὺν παρεῖχον ἅμα πάντες ἐρωτῶντες, καὶ τοῖς πολεμίοις σαφὲς αὐτὸ κατέστησαν. τὸ δ' ἐκείνων οὐχ ὁμοίως ἠπίσταντο, διὰ τὸ κρατοῦντας αὐτοὺς καὶ μὴ διεσπασμένους, ἧσσον ἀγνοεῖσθαι. ὥστ' εἰ μέν ἐντύχοιέν τισι, κρείσσους ὄντες τῶν πολεμίων, διέφευγον αὐτοὺς, ἃ τε ἐκείνων ἐπιστάμενοι τὸ ξύνθημα. εἰ δ' αὐτοὶ μὴ ὑποκρίνοιντο, διεφθεί-

sci poterant. Nam & Syracuſani & ſocii, qui hoſtem vincebant, adhortabantur, nec parvo clamore utebantur, (quod alia ratione noctu, quid opus eſſet facto, ſignificare non poſſent) & ſimul eorum, qui ſe ferebant obviam, impetum ſuſtinebant. Et Athenienſes ſe ipſos quaeritabant, & quoslibet oppoſitos, quamvis eſſent amici, illorum, qui fuga ſe iam ad ſuos reciperent, hoſtes eſſe ducebant. Quoniam autem crebris interrogationibus teſſeram ſciſcitabantur, quod nulla alia ratione ſuos ab hoſtibus dignoſcere poſſent, ſibi ipſis ingentem perturbationem praebebant, dum omnes ſimul teſſeram ſciſcitarentur, ipſamque hoſtibus prodiderunt. At illorum teſſeram ipſi non ita norant, quia illi vincentes, nec diſſipati, minus ignoti erant. Quare ſi Athenienſes in aliquos hoſtes incidiſſent, quamvis plus virium, quam hoſtes, haberent, ipſi tamen hoſtes ipſos devitabant, quod ipſorum teſſeram noſſent. Sed ſi ipſi non reſpondiſſent,

ροντο. μέγιστον δὲ καὶ οὐχ ἥκιστα ἔβλαψεν ὁ παιωνισμός. ἀπὸ γὰρ ἀμφοτέρων παραπλήσιος ὢν ἀπορίαν παρεῖχεν. οἵ τε γὰρ Ἀργεῖοι καὶ οἱ Κερκυραῖοι, καὶ ὅσον Δωρικὸν μετ' Ἀθηναίων ἦν, ὁπότε παιωνίσειαν, φόβον παρεῖχε τοῖς Ἀθηναίοις, οἵ τε πολέμιοι ὁμοίως. ὥστε τέλος ξυμπεσόντες αὐτοῖς κατὰ τὰ πολλὰ τοῦ στρατοπέδου, ἐπεὶ ἅπαξ ἐταράχθησαν, φίλοι τε φίλοις, καὶ πολῖται πολίταις, οὐ μόνον ἐς φόβον κατέστησαν, ἀλλὰ καὶ ἐς χεῖρας ἀλλήλοις ἐλθόντες, μόλις ἀπελύοντο. καὶ διωκόμενοι, κατά τε τῶν χρημνῶν οἱ πολλοὶ ῥίπτοντες ἑαυτοὺς, ἀπώλλυντο, στενῆς οὔσης τῆς ἀπὸ τῶν Ἐπιπολῶν πάλιν καταβάσεως. καὶ ἐπειδὴ ἐς τὸ ὁμαλὸν οἱ σωζόμενοι ἄνωθεν καταβαίνοιεν, οἱ μὲν πολλοὶ αὐτῶν, καὶ ὅσοι ἦσαν τῶν προτέρων στρα-

ab illis trucidabantur. Quod autem maxime atque praecipue ipsis nocuit, fuit paeanis modulatio. Quod enim utrorumque similis esset, dubitationem afferebat. Nam & Argivi, & Corcyraei, & quidquid Doricae gentis cum Athenienſibus erat, quoties paeana cecinissent, hoc Athenienſibus timorem incutiebat; & hostes pariter eos perterrefaciebant. Quamobrem ad extremum, postquam semel perturbati fuerunt, in variis hostilium castrorum partibus inter se ipsos concurrentes, & amici cum amicis, & cives cum civibus confligentes, non solum sibi mutuo metum incussерunt, sed etiam cum ad manus inter se veniſſent, alteri ab alteris vix dirimi potuerunt. Hostibus autem insequentibus, eorum multi se ipsos ex rupibus praecipitantes interemerunt, quod arctus esset ex Epipolis ad regrediendum descensus. Et postquam ii, qui ex locis superioribus incolumes evaserant, in planitiem descenderunt, eo-

τιωτῶν, ἐμπειρίᾳ μᾶλλον τῆς χώρας, ἐς τὸ στρατόπεδον διεΘύγγανον. οἱ δὲ ὕστερον ἥκοντες, εἰσὶν οἳ διαμαρτόντες τῶν ὁδῶν, κατὰ τὴν χώραν ἐπλανήθησαν· οὓς, ἐπειδὴ ἡμέρα ἐγένετο, οἱ ἱππεῖς τῶν Συρακουσίων περιελάσαντες διέΦθειραν.

μέ. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακούσιοι δύο τροπαῖα ἔστησαν, ἐπί τε ταῖς Ἐπιπολαῖς ᾗ ἡ πρόσβασις, καὶ κατὰ τὸ χωρίον ᾗ οἱ Βοιωτοὶ πρῶτοι ἀντέστησαν. οἱ δ' Ἀθηναῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἐκομίσαντο. ἀπέθανον δὲ οὐκ ὀλίγοι αὐτῶν τε καὶ τῶν ξυμμάχων· ὅπλα μέντοι ἔτι πλείω ἢ κατὰ τοὺς νεκροὺς ἐλήΦθη. οἱ γὰρ κατὰ τῶν χρημνῶν βιασθέντες ἅλλεσθαι ψιλοὶ ἄνευ τῶν ἀσπίδων, οἱ μὲν ἀπώλλυντο, οἱ δ' ἐσώθησαν.

μστ. Μετὰ δὲ τοῦτο, οἱ μὲν Συρακούσιοι, ὡς ἐπὶ ἀπροσδοκήτῳ εὐπραγίᾳ πάλιν αὖ ἀναῤῥωσθέντες, ὥστε Augusti initio.

rum plerique, & quotquot erant ex priore exercitu, propter maiorem regionis notitiam, in ſua caſtra perfugerunt. Ex iis vero, qui poſterius venerant, nonnulli ab itineribus aberrantes per agrum paſſim errarunt: quos, ubi dies illuxit, Syracuſanorum equitatus circumfuſus profligavit.

XLV. Poſtridie vero Syracuſani quidem duo tropaea ſtatuerunt: unum ad Epipolas, qua hoſtis aſcenderat; & alterum, ubi primum Boeoti Athenienſibus reſtiterant. Athenienſes vero ſuorum cadavera fide publica interpoſita receperunt. Non pauci autem tam ipſorum, quam ſociorum perierunt: arma tamen longe plura, quam pro caeſorum numero, capta fuerunt. Qui enim ex rupibus inermes ſine ſcutis deſilire coacti fuerant, partim quidem perierunt, partim vero evaſerunt.

XLVI. Poſtea vero Syracuſani quidem propter inſpera-

περ καὶ πρότερον, ἐς μὲν Ἀκράγαντα στασιάζοντα πεντεκαίδεκα ναυσὶ Σικανὸν ἀπέστειλαν, ὅπως ὑπαγάγοιτο τὴν πόλιν, εἰ δύναιτο. Γύλιππος δὲ κατὰ γῆν ἐς τὴν Σικελίαν ὤχετο αὖθις, ἄξων στρατιὰν ἔτι· ὡς ἐν ἐλπίδι ὢν καὶ τὰ τείχη τῶν Ἀθηναίων αἱρήσειν βίᾳ, ἐπειδὴ τὰ ἐν ταῖς Ἐπιπολαῖς οὕτω ξυνέβη.

μζ'. Οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ ἐν τούτῳ ἐβουλεύοντο πρός τε τὴν γεγενημένην ξυμφορὰν, καὶ πρὸς τὴν παροῦσαν ἐν τῷ στρατοπέδῳ κατὰ πάντα ἀῤῥωστίαν. τοῖς τε γὰρ ἐπιχειρήμασιν ἑώρων οὐ κατορθοῦντες, καὶ τοὺς στρατιώτας ἀχθομένους τῇ μονῇ. νόσῳ τε ἐπιέζοντο κατ' ἀμφότερα, τῆς τε ὥρας τοῦ ἐνιαυτοῦ ταύτης οὔσης ἐν ᾗ ἀσθενοῦσιν ἄνθρωποι μάλιστα, καὶ τὸ χωρίον ἅμα ἐν ᾧ ἐστρατοπεδεύοντο, ἑλῶδες καὶ

tum rei feliciter geſtae ſucceſſum, viribus iterum (ut & ante) collectis, Agrigentum, quod ſeditione laborabat, Sicanum cum quindecim navibus miſerunt, ut illam urbem, ſi poſſet, in ſuam poteſtatem redigeret. Gylippus etiam itinere terreſtri Siculorum urbes iterum adiit, ut novas copias illinc adduceret: quod ſpem concepiſſet, fore ut & munitiones Athenienſium expugnaret, quandoquidem apud Epipolas res ita contigiſſet.

XLVII. Interea vero Athenienſium duces, cum propter cladem, quam acceperant, tum etiam ob afflictam omnibus in rebus fortunam, in qua totus exercitus tunc erat conſtitutus, conſultare coeperunt. Videbant enim, ſe ſuis conatibus rem feliciter non gerere, & milites manſione gravari. Nam duabus de cauſis morbo premebantur: tum quod id eſſet anni tempus, quo potiſſimum homines aegrotant; tum etiam quod locus, in quo caſtra habebant, pa

χαλεπὸν ἦν. τά τε ἄλλα ὅτι ἀνέλπιστα αὐτοῖς ἐφαίνετο. τῷ οὖν Δημοσθένει οὐκ ἐδόκει ἔτι χρῆναι μένειν· ἀλλ' ἅπερ [καὶ] διανοηθεὶς ἐς τὰς Ἐπιπολὰς διεκινδύνευσεν, ἐπειδὴ ἔσφαλτο, διεξιέναι ἐψηφίζετο, καὶ μὴ διατρίβειν, ἕως ἔτι τὸ πέλαγος οἷόν τε περαιοῦσθαι, καὶ τοῦ στρατεύματος ταῖς γοῦν ἐπελθούσαις ναυσὶ κρατεῖν. καὶ τῇ πόλει ὠφελιμώτερον εἶναι ἔφη, πρὸς τοὺς ἐν τῇ χώρᾳ σφῶν ἐπιτειχίζοντας τὸν πόλεμον ποιεῖσθαι, ἢ Συρακουσίους, οὓς οὐκέτι ῥᾴδιον εἶναι χειρώσασθαι· οὐδ' αὖ ἄλλως χρήματα πολλὰ δαπανῶντας εἰκὸς εἶναι προσκαθῆσθαι. καὶ ὁ μὲν Δημοσθένης τοιαῦτα ἐγίγνωσκεν.

μή. Ὁ δὲ Νικίας ἐνόμιζε μὲν καὶ αὐτὸς πονηρὰ σφῶν τὰ πράγματα εἶναι, τῷ δὲ λόγῳ οὐκ ἐβούλετο αὐτὰ ἀσθενῆ ἀποδεικνύναι, οὐδ' ἐμφανῶς σφᾶς ψη-

Iuſtris ac moleſtus eſſet. Praeterea quod de ceteris hoſtium rebus in ſuam poteſtatem redigendis nulla ſpes amplius ipſis oſtenderetur. Demoſthenes igitur non diutius illic manendum eſſe cenſebat. Sed cum ſpes illa, qua adductus belli fortunam apud Epipolas tentaverat, eum fefelliſſet, pertranſire conſtituit, nec morari, dum mare foret adhuc idoneum ad traiiciendum, ac ipſi ſaltem claſſis acceſſione navales copias ſuperare poſſent. Et reipublicae magis conducere dicebat, bellum cum illis gerere, qui in ſuo agro munitiones adverſus ipſam exſtruerent, quam cum Syracuſanis, quos expugnare nequaquam amplius facile eſſet. Quin etiam rationi minime conſentaneum eſſe, magnam pecuniae vim in obſidione fruſtra conſumere. Atque Demoſthenis quidem haec erat ſententia.

XLVIII. Nicias vero ſentiebat quidem & ipſe, res ſuas infirmas eſſe, ſed tamen ipſarum infirmitatem verbis de-

φιζομένους μετὰ πολλῶν τὴν ἀναχώρησιν, τοῖς πολεμίοις καταγγέλτους γίγνεσθαι. λαθεῖν γὰρ ἂν ὁπότε βούλοιντο τοῦτο ποιοῦντες πολλῷ ἧσσον. τὸ δέ τι καὶ τὰ τῶν πολεμίων, ἀφ' ὧν ἐπιπλέον ἢ ἄλλοι ἠσθάνετο αὐτῶν, ἐλπίδος τὶ ἔτι παρεῖχε πονηρότερα τῶν σφετέρων ἔσεσθαι, ἢν καρτερῶσι προσκαθήμενοι. χρημάτων γὰρ ἀπορίᾳ αὐτοὺς ἐκτρυχώσειν, ἄλλως τε καὶ ἐπιπλέον ἤδη ταῖς ὑπαρχούσαις ναυσὶ θαλασσοκρατούντων. καὶ, ἦν γάρ τι καὶ ἐν ταῖς Συρακούσαις βουλόμενον τοῖς Ἀθηναίοις τὰ πράγματα ἐνδοῦναι, ἐπεχηρυκεύετο ὡς αὐτὸν, καὶ οὐκ εἴα ἀπανίστασθαι. ἃ ἐπιστάμενος, τῷ μὲν ἔργῳ, ἔτι ἐπ' ἀμφότερα ἔχων καὶ διασκοπῶν ἀνεῖχε· τῷ δ' ἐμφανεῖ τότε λόγῳ, οὐκ ἔφη ἀπάξειν τὴν στρατιάν. εὖ γὰρ εἰδέναι ὅτι οἱ Ἀθηναῖοι σφῶν ταῦτα οὐκ

clarare nolebat: nolebat etiam, de receptu decretum a ſe cum multis palam fieri, ne rumor ad hoſtes emanaret. Nam ſi hoc feciſſent, ſe multo minus, quotieſcunque voluiſſent, clam diſcedere poſſe. Praeterea hoſtium quoque res (quod earum maiorem, quam ceteri collegae, notitiam Nicias haberet) nonnihil ſpei adhuc ipſi praebebant, fore ut deteriore conditione eſſent, quam ſuae, ſi Athenienſes in urbis obſidione perſeverarent. Illos enim pecuniarum inopia a ſe exhauſtum iri dicebat, praeſertim quod claſſem iam haberent, qua longe lateque maris imperium obtinerent. Quin etiam (nam & Syracuſiis erant nonnulli, qui res urbemque Athenienſibus dedere volebant) nuntios ad ipſum mittebant, nec diſcedere ſinebant. Quae cum ille ſciret, re quidem ipſa in utramque partem adhuc nutabat, & ancipitem cogitationem habens haerebat: verbis vero, quibus tunc palam utebatur, ſe copias abducturum nega-

ἀποδέξονται, ὥστε μὴ αὐτῶν ψηφισαμένων ἀπελθεῖν. καὶ γὰρ οὐ τοὺς αὐτοὺς ψηφιεῖσθαί τε περὶ σφῶν αὐτῶν, καὶ τὰ πράγματα ὥσπερ καὶ αὐτοὶ ὁρῶντας, καὶ οὐκ ἄλλων ἐπιτιμήσει ἀκούσαντας γνώσεσθαι, ἀλλ' ἐξ ὧν ἄν τις εὖ λέγων διαβάλλοι, ἐκ τούτων αὐτοὺς πείσεσθαι. τῶν τε παρόντων στρατιωτῶν πολλοὺς καὶ τοὺς πλείους ἔφη, οἳ νῦν βοῶσιν ὡς ἐν δεινοῖς ὄντες, ἐκεῖσε ἀφικομένους τὰ ἐναντία βοήσεσθαι, ὡς ὑπὸ χρημάτων καταπροδόντες οἱ στρατηγοὶ ἀπῆλθον. οὔκουν βούλεσθαι αὐτός γε, ἐπιστάμενος τὰς Ἀθηναίων φύσεις, ἐπ' αἰσχρᾷ τε αἰτίᾳ καὶ ἀδίκως ὑπ' Ἀθηναίων ἀπολέσθαι μᾶλλον ἢ ὑπὸ τῶν πολεμίων, εἰ δεῖ, κινδυνεύσας τοῦτο παθεῖν ἰδίᾳ. τά τε Συρακουσίων ἔφη ὅμως ἔτι ἥσσω τῶν σφετέρων εἶναι. χρήμασι γὰρ αὐτοὺς ξενο-

bat. Se enim probe ſcire dicebat, haec ab Athenienſibus minime probatum iri, ſe ſine ipſorum decreto diſcedere. Non enim qui rerum ſtatum (ſicut & ipſi) vidiſſent, non autem ex aliorum duces infectantium verbis intellexiſſent, eoſdem de ſe ipſis iudicaturos atque decreturos; ſed ipſos Athenienſes criminationibus alicuius, qui verbis ad perſuadendum aptis uſus fuerit, fidem habituros. Quin etiam multos atque adeo pleroſque praeſentium militum, qui tunc vociferarentur, ſe in gravibus malis verſari, illuc reverſos contraria vociferaturos, duces pecunia corruptos prodidiſſe, atque diſceſſiſſe. Quamobrem ſe ſaltem, qui noſſet Athenienſium ingenia, nolle dicebat ob turpem cauſam & inique ab Athenienſibus potius morte mulctari, quam ab hoſtibus, ſi opus eſſet, hoc ipſum privato periculo pati. Quamvis autem, res ſuas infirmas & afflictas eſſe, ſciret, tamen dicebat, res Syracuſanorum longe dete-

τροφοῦντας, καὶ ἐν περιπολίοις ἅμα [ἄλλα] ἀναλίσκοντας, καὶ ναυτικὴν πολὺ ἔτι ἐνιαυτὸν ἤδη βόσκοντας, τὰ μὲν ἀπορεῖν, τὰ δ' ἔτι ἀμηχανήσειν. δισχίλια γὰρ τάλαντα ἤδη ἀνηλωκέναι, καὶ ἔτι πολλὰ προσοφείλειν· ἥν τε καὶ ὁτιοῦν ἐκλίπωσι τῆς νῦν παρασκευῆς, τῷ μὴ διδόναι τροφὴν, φθερεῖσθαι αὐτῶν τὰ πράγματα, ἐπικουρικὰ μᾶλλον, ἢ δι' ἀνάγκης (ὥσπερ τὰ σφέτερα) ὄντα. τρίβειν οὖν ἔφη χρῆναι προσκαθημένους, καὶ μὴ χρήμασιν ὡς πολὺ κρείσσους εἰσὶ, νικηθέντας ἀπιέναι.

μθ'. Ὁ μὲν Νικίας ταῦτα λέγων ἰσχυρίζετο, αἰσθόμενος τὰ ἐν ταῖς Συρακούσαις ἀκριβῶς, καὶ τὴν τῶν χρημάτων ἀπορίαν, καὶ ὅτι ἦν αὐτόθι που τὸ βουλόμενον τοῖς Ἀθηναίοις γίγνεσθαι τὰ πράγματα, καὶ

riore conditione esse, quam suas. Illos enim, quod sua pecunia mercenarios milites alerent, simul etiam quod alios sumtus facerent in alenda praesidia in castellis circum urbem sitis disposita, praeterea quod magnam etiam classem iam per annum alerent, partim quidem rei pecuniariae inopia iam premi, partim vero in aliis etiam angustiis fore. Duo enim talentorum millia iam consumsisse, praeterea multa etiam debere. Et, si vel minimum de praesenti apparatu detraherent, stipendiumque militibus dare cessarent, res eorum perituras; quippe quod copiis auxiliaribus niterentur potius, quam necessariis, quales essent suae copiae. Quamobrem dicebat, oportere se in obsidione perseverare; neque pecunia superatos, qua longe superiores essent, abire.

XLIX. Atque Nicias quidem haec dicens affirmabat, quia rerum Syracusanorum statum plane compertum habebat, & pecuniarum inopiam, & quosdam illic esse, qui

ἐπιχηρυκευόμενον πρὸς αὐτὸν ὥστε μὴ ἀπανίστασθαι, καὶ ἅμα ταῖς γοῦν ναυσὶν ἢ πρότερον θαρσήσει κρατηθείς. ὁ δὲ Δημοσθένης, περὶ μὲν τοῦ πρόσκαθῆσθαι, οὐδ' ὁπωσοῦν ἐνεδέχετο· εἰ δὲ δεῖ μὴ ἀπάγειν τὴν στρατιὰν ἄνευ Ἀθηναίων ψηφίσματος, ἀλλὰ τρίβειν αὐτοὺς ἔζη χρῆναι, ἢ ἐς τὴν Θάψον ἀναστάντας τοῦτο ποιεῖν, ἢ ἐς τὴν Κατάνην, ὅθεν τῷ τε πεζῷ ἐπὶ πολλὰ τῆς χώρας ἐπιόντες τρέψονται, πορθοῦντες τὰ τῶν πολεμίων, καὶ ἐκείνους βλάψουσι· ταῖς τε ναυσὶν ἐν πελάγει, καὶ οὐκ ἐν στενοχωρίᾳ (ἢ πρὸς τῶν πολεμίων μᾶλλόν ἐστι) τοὺς ἀγῶνας ποιήσονται, ἀλλ' ἐν εὐρυχωρίᾳ, ἐν ᾗ τά τε τῆς ἐμπειρίας χρήσιμα σφῶν ἔσται, καὶ ἀναχωρήσεις καὶ ἐπίπλους, οὐκ ἐκ βραχέος καὶ περιγραπτοῦ

res illas in Athenienſium poteſtatem venire cuperent, & qui nuntios ad ſe mitterent, ne diſcederet; ſimul etiam illud certo ſciebat, ſe claſſe ſaltem maiorem fidentiam habiturum, quam ante, cum ab hoſte victus fuiſſet. Demoſthenes vero nullo modo probabat eius conſilium de diutius in urbis obſidione perſeverando. Quod ſi ſine Athenienſium decreto exercitus non eſſet abducendus, at in Sicilia perſtandum; dicebat, hoc ipſis eſſe faciendum ita, ut caſtris inde motis aut Thapſum, aut Catanam peterent, unde cum peditatu in varias hoſtilis agri partes ſeſe converterent, & incurſiones facerent, & res hoſtium diriperent, ac illis nocerent; & cum ſuis navibus in alto, nec in anguſtiis, (quae pro hoſtibus magis facerent) proelia committerent, ſed in aperto mari, ubi ex ſua peritia fructum perciperent, & ſe recipiendi & hoſtem invadendi liberam facultatem haberent, non ex brevi praeſcriptoque loci ſpatio in hoſtem impreſſionem facientes, & ad ſua

ὁρμώμενοί τε καὶ καταίροντες, ἔξουσι. τό, τε ξύμπαν εἰπεῖν, οὐδενὶ τρόπῳ ἔφη ἀρέσκειν ἐν τῷ αὐτῷ ἔτι μένειν, ἀλλ' ὁτιτάχιστα ἤδη καὶ μὴ μέλλειν ἐξανίστασθαι. καὶ ὁ Εὐρυμέδων αὐτῷ ταῦτα ξυνηγόρευεν. ἀντιλέγοντος δὲ τοῦ Νικίου, ὄκνος τὶς καὶ μέλλησις ἐνεγένετο, καὶ ἅμα ὑπόνοια μή τι καὶ πλέον εἰδὼς ὁ Νικίας ἰσχυρίζηται. καὶ οἱ μὲν Ἀθηναῖοι τούτῳ τῷ τρόπῳ διεμέλλησάν τε καὶ κατὰ χώραν ἔμενον.

ν'. Ὁ δὲ Γύλιππος καὶ ὁ Σικανὸς ἐν τούτῳ παρῆσαν ἐς τὰς Συρακούσας· ὁ μὲν Σικανὸς, ἁμαρτὼν τοῦ Ἀκράγαντος (ἐν Γέλᾳ γὰρ ὄντος αὐτοῦ ἔτι, ἡ τοῖς Συρακουσίοις στάσις ἐς Φιλίαν ἐξεπεπτώκει) ὁ δὲ Γύλιππος, ἄλλην τε στρατιὰν πολλὴν ἔχων ἦλθεν ἀπὸ τῆς Σικελίας, καὶ τοὺς ἐκ τῆς Πελοποννήσου τοῦ ἦρος ἐν ταῖς ὁλκάσιν ὁπλίτας ἀποσταλέντας, ἀφικομένους ἀπὸ

stationes ac portum appellentes. In ſumma, nullo modo ſibi placere dicebat, in eodem loco diutius manere; ſed quam celerrime iam, & ſine ulla cunctatione caſtris motis illinc abire. Eurymedon autem ipſius orationem comprobabat. Sed contradicente Nicia, ſegnities quaedam & cunctatio innaſcebatur, ſimul etiam ſuſpicio, ne Nicias, quod aliquid amplius meliuſque noſſet, quam ceteri, haec affirmaret. Hunc in modum Athenienſes quidem negligentiores facti ſunt, & in eodem loco permanſerunt.

L. Interea vero Gylippus & Sicanus Syracuſas redierunt. Sicanus quidem infecto Agrigenti negotio; (nam cum adhuc Gelae eſſet, illa ſeditio propter Syracuſanos orta in amicitiam eſt converſa) Gylippus vero rediit ſecum adducens cum alium magnum exercitum ex Sicilia collectum, tum etiam illos gravis armaturae milites, vere

τῆς Λιβύης ἐς Σελινοῦντα. ἀπενεχθέντες γὰρ ἐς Λιβύην, καὶ δόντων Κυρηναίων τριήρεις δύο καὶ τοῦ πλοῦ ἡγεμόνας, καὶ ἐν τῷ παράπλῳ Εὐεσπερίταις πολιορκουμένοις ὑπὸ Λιβύων ξυμμαχήσαντες, καὶ νικήσαντες τοὺς Λίβυς, καὶ αὐτόθεν παραπλεύσαντες ἐς Νέαν πόλιν, Καρχηδονιακὸν ἐμπόριον, ὅθεν πρὸς Σικελίαν ἐλάχιστον δυοῖν ἡμερῶν καὶ νυκτὸς πλοῦς ἀπέχει, καὶ ἀπ' αὐτοῦ περαιωθέντες, ἀφίκοντο ἐς Σελινοῦντα. καὶ οἱ μὲν Συρακούσιοι, εὐθὺς αὐτῶν ἐλθόντων παρεσκευάζοντο ὡς ἐπιθησόμενοι κατ' ἀμφότερα αὖθις τοῖς Ἀθηναίοις, καὶ ναυσὶ καὶ πεζῷ. οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ, ὁρῶντες στρατιὰν τε ἄλλην προσγεγενημένην αὐτοῖς, καὶ τὰ ἑαυτῶν ἅμα οὐκ ἐπὶ τὸ βέλτιον χωροῦντα, ἀλλὰ καθ' ἡμέραν τοῖς πᾶσι χαλεπώτερον ἴσχοντα, μάλιστα δὲ τῇ ἀσθενείᾳ τῶν ἀνθρώπων πιεζόμενα,

in onerariis navibus ex Peloponneſo miſſos, ex Africa Selinuntem profectos. Cum enim in Africam delati fuiſſent, & duas triremes & navigationis duces a Cyrenaeis datos accepiſſent, & in ipſa praetervectione Eueſperitis, qui ab Afris obſidebantur, opem tuliſſent, Afroſque ſuperaſſent, & illinc praetervecti Neapolim petiiſſent, Carthaginienſe emporium, unde in Siciliam breviſſimus eſt traiectus, duorum omnino dierum & unius noctis navigatione, & illinc in Siciliam traieciſſent, Selinuntem pervenerunt. Cum autem iſti illuc adveniſſent, Syracuſani quidem confeſtim ſeſe praeparare coeperunt ad Athenienſes utrinque, & navalibus & pedeſtribus copiis, rurſus invadendos. Athenienſium vero duces, cum alium etiam exercitum ipſis Syracuſanis acceſſiſſe viderent, & res ſuas non in melius progredi, ſed quotidie ex omni parte peius ſe habere, prae-

μετεμέλοντό τε πρότερον οὐκ ἀναστάντες, καὶ ὡς αὐτοῖς οὐδὲ ὁ Νικίας ἔτι ὁμοίως ἠναντιοῦτο, ἀλλ' ἢ μὴ φανερῶς γε ἀξιῶν ψηφίζεσθαι, προεῖπον ὡς ἠδύναντο ἀδηλότατα ἔκπλουν ἐκ τοῦ στρατοπέδου πᾶσι, καὶ παρασκευάσασθαι ὅταν τὶς σημήνῃ· καὶ μελλόντων αὐτῶν,
Aug. 27. ἐπειδὴ ἕτοιμα ἦν, ἀποπλεῖν, ἡ σελήνη ἐκλείπει. ἐτύγχανε γὰρ πανσέληνος οὖσα. καὶ οἱ Ἀθηναῖοι οἵ τε πλείους ἐπισχεῖν ἐκέλευον τοὺς στρατηγοὺς, ἐνθύμιον ποιούμενοι, καὶ ὁ Νικίας (ἦν γάρ τι καὶ ἄγαν θειασμῷ τε καὶ τῷ τοιούτῳ προσκείμενος) οὐδ' ἂν διαβουλεύσασθαι ἔτι ἔφη, πρὶν ἃς οἱ μάντεις ἐξηγοῦντο, τρὶς ἐννέα ἡμέρας μεῖναι, ὅπως ἂν πρότερον κινηθείη. καὶ τοῖς μὲν Ἀθηναίοις μελλήσασι, διὰ τοῦτο ἡ μονὴ ἐγεγένητο.

cipue vero infirma hominum valetudine premi, poenitebat, quod antea motis inde caſtris non abiiſſent; & cum ne Nicias quidem amplius aeque ac ante ipſis adverſaretur, ſed tantum peteret, ne ſaltem aperte profectio decerneretur, omnibus ſuis militibus abitionem ex caſtris edixerunt, quam occultiſſime potuerunt, utque expediti forent, cum quis ſignum daret. Cum autem res omnes iam eſſent paratae, cumque iam eſſent diſceſſuri, luna defecit. Erat autem plenilunium. Athenienſium vero cum alii plerique rem eam pro ominoſa habentes, duces ad ſubſiſtendum hortabantur, tum vero Nicias (erat enim alioqui rebus divinis & huiuſmodi nimium deditus) dixit, ſe ne permiſſurum quidem amplius, ut de caſtris movendis deliberaretur, priuſquam ter novem dies ibi manſiſſent, quos vates praecepiſſent. Hac igitur de cauſa Athenienſes, mora interpoſita, illic permanſerunt.

νά. Οἱ δὲ Συρακούσιοι, καὶ αὐτοὶ τοῦτο πυθόμενοι, πολλῷ μᾶλλον ἐγηγερμένοι ἦσαν μὴ ἀνιέναι τὰ τῶν Ἀθηναίων, ὡς καὶ αὐτῶν κατεγνωκότων ἤδη μηκέτι κρεισσόνων εἶναι σῴων μήτε ταῖς ναυσὶ, μήτε τῷ πεζῷ· οὐ γὰρ ἂν τὸν ἔκπλουν ἐπιβουλεῦσαι. καὶ ἅμα οὐ βουλόμενοι αὐτοὺς, ἄλλοσέ ποι τῆς Σικελίας καθεζομένους, χαλεπωτέρους εἶναι προσπολεμεῖν, ἀλλ' αὐτοῦ ὡστάχιστα καὶ ἐν ᾧ σῴσι ξυμφέρει ἀναγκάσαι αὐτοὺς ναυμαχεῖν. τὰς οὖν ναῦς ἐπλήρουν, καὶ ἀνεπειρῶντο ἡμέρας ὅσαι αὐτοῖς ἐδόκουν ἱκαναὶ εἶναι. ἐπειδὴ δὲ καιρὸς ἦν, τῇ μὲν πρωτεραίᾳ πρὸς τὰ τείχη τῶν Ἀθηναίων προσέβαλλον, καὶ ἐπεξελθόντος μέρους τινὸς οὐ πολλοῦ καὶ τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων κατά τινας πύλας, ἀπολαμ- Aug. 28.

LI. Syracuſani vero, cum hoc intellexiſſent, animis & ipſi multo magis erecti ſunt ad Athenienſium fugam impediendam, quod vel ipſi Athenienſes iam agnoſcerent, ſe neque claſſe, neque peditatu, Syracuſanis amplius ſuperiores eſſe. Nec enim furtivam abitionem molituros fuiſſe credebant. Simul etiam quod nollent, eos, in aliquam aliam Siciliae partem profectos, ibi conſidere, & oppugnatu difficiliores eſſe; ſed illic primo quoque tempore, & in loco ſibi commodo, ipſos ad proelium navale committendum adigere vellent. Naves igitur inſtruere coeperunt, & aliquot dies, quot ſatis eſſe ipſis viſi ſunt, ſe exercuerunt. Poſtquam vero tempus opportunum advenit, priore quidem die ad Athenienſium munitiones acceſſerunt, eaſque oppugnare coeperunt: cumque quaedam non magna manus, tam gravis armaturae militum, quam equitum, per quaſdam portas eruptionem in eos feciſſet, Syracuſani nonnullos illorum gravis armaturae milites interceperunt,

βάνουσί τε τῶν ὁπλιτῶν τινας, καὶ τρεψάμενοι καταδιώκουσιν. οὔσης δὲ στενῆς τῆς ἐφόδου, οἱ Ἀθηναῖοι ἱππους τε ἑβδομήκοντα ἀπολλύουσι, καὶ τῶν ὁπλιτῶν οὐ πολλούς.

Aug. 29. νβ'. Καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ ἀπεχώρησεν ἡ στρατιὰ τῶν Συρακουσίων· τῇ δ' ὑστεραίᾳ, ταῖς τε ναυσὶν ἐκπλέουσιν, οὔσαις ἓξ καὶ ἑβδομήκοντα, καὶ τῷ πεζῷ ἅμα πρὸς τὰ τείχη ἐχώρουν. οἱ δ' Ἀθηναῖοι ἀνταναῆγον ναυσὶν ἓξ καὶ ὀγδοήκοντα, καὶ προσμίξαντες ἐναυμάχουν. καὶ τὸν Εὐρυμέδοντα ἔχοντα τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων, καὶ βουλόμενον περικλείσασθαι τὰς ναῦς τῶν ἐναντίων, καὶ ἐπεξαγαγόντα τῷ πλῷ πρὸς τὴν γῆν μᾶλλον, νικήσαντες οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι τὸ μέσον πρῶτον τῶν Ἀθηναίων, ἀπολαμβάνουσι κἀκεῖνον ἐν τῷ κοίλῳ καὶ μυχῷ τοῦ λιμένος, καὶ αὐτόν τε

& ceteros in fugam verſos perſecuti ſunt. Quoniam autem via, qua incurſio fiebat, erat anguſta, Athenienſes amiſerunt ſeptuaginta equites, & nonnullos gravis armaturae milites.

LII. Atque hoc quidem die Syracuſanorum exercitus illinc ſe recepit. Poſtero vero die, cum ſex & ſeptuaginta navibus prodierunt, & cum peditatu ſimul ad Athenienſium munitiones perrexere. Athenienſes vero cum ſex & octoginta navibus obviam ipſis iverunt, & cum ad manus veniſſent, proelium navale commiſerunt. Et Eurymedontem, qui dextrum Athenienſium cornu tenebat, & adverſariorum naves circumcludere volebat, ac ideo navium agmen longa ſerie extenuatum produxerat propius terram, Syracuſani ſociique, cum medium Athenienſium agmen primum viciſſent, ipſum quoque in concavo portus atque intimo

διαφθείρουσι, καὶ τὰς μετ' αὐτοῦ ναῦς ἐπισπομένας· ἔπειτα δὲ καὶ τὰς πάσας ναῦς ἤδη τῶν Ἀθηναίων κατεδίωκόν τε καὶ ἐξεώθουν ἐς τὴν γῆν.

νγ'. Ὁ δὲ Γύλιππος, ὁρῶν τὰς ναῦς τῶν πολεμίων νικωμένας, καὶ ἔξω τῶν σταυρωμάτων καὶ τοῦ ἑαυτῶν στρατοπέδου καταφερομένας, βουλόμενος διαφθείρειν τοὺς ἐκβαίνοντας, καὶ τὰς ναῦς ῥᾷον τοὺς Συρακουσίους ἀφέλκειν τῆς γῆς φιλίας οὔσης, παρεβοήθει ἐπὶ τὴν χηλὴν, μέρος τι ἔχων τῆς στρατιᾶς. καὶ αὐτοὺς οἱ Τυρσηνοὶ (οὗτοι γὰρ ἐφύλασσον τοῖς Ἀθηναίοις) [ταύτῃ] ὁρῶντες ἀτάκτως προσφερομένους, ἐπεκβοηθήσαντες καὶ προσπεσόντες τοῖς πρώτοις, τρέπουσι, καὶ ἐσβάλλουσιν ἐς τὴν λίμνην τὴν Λυσιμέλειαν καλουμένην. ὕστερον δὲ, πλείονος ἤδη τοῦ στρατεύματος παρόντος τῶν

eius receſſu interceperunt; & cum ipſum, tum etiam naves, quae ipſum ſequebantur, profligarunt. Deinde vero reliquam etiam Athenienſium claſſem iam perſequi, & ad terram propellere coeperunt.

LIII. Gylippus vero, cernens, hoſtium claſſem iam ſuperari, & extra vallum & ſua caſtra proferri, cupiens eos profligare, qui in terram egrederentur, & efficere, ut Syracuſani naves facilius retraherent, quod ab amicis terra teneretur, ad portus crepidinem cum quadam copiarum parte accurrit, ut ſuis auxilium ferret. Hetruſci vero, (iſti enim Athenienſium cauſa illic excubabant) cum ipſos hac incompoſite contendentes animadvertiſſent, in eos eruptionem fecerunt, ut ſuis opem ferrent, &, impreſſione in primos facta, eos in fugam coniecerunt, & in paludem, nomine Lyſimeliam, deturbarunt. Poſtea vero, cum maior Syracuſanorum ſociorumque manus iam ad-

Συρακουσίων καὶ ξυμμάχων, καὶ οἱ Ἀθηναῖοι ἐπιβοηθήσαντες, καὶ δείσαντες περὶ ταῖς ναυσὶν, ἐς μάχην τε κατέστησαν πρὸς αὐτοὺς, καὶ νικήσαντες ἐπεδίωξαν· καὶ ὁπλίτας τε πολλοὺς ἀπέκτειναν, καὶ τὰς ναῦς, τὰς μὲν πολλὰς διέσωσάν τε καὶ ξυνήγαγον κατὰ τὸ στρατόπεδον, δυοῖν δεούσας εἴκοσιν, ἃς οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι ἔλαβον αὐτῶν, καὶ τοὺς ἄνδρας πάντας ἀπέκτειναν· καὶ ἐπὶ τὰς λοιπὰς, ἐμπρῆσαι βουλόμενοι, ἐλκάδα παλαιὰν κληματίδων καὶ δαδὸς γεμίσαντες (ἦν γὰρ ἐπὶ τοὺς Ἀθηναίους ὁ ἄνεμος οὔριος) ἀφεῖσαν τὴν ναῦν, πῦρ ἐμβαλόντες. καὶ οἱ Ἀθηναῖοι δείσαντες περὶ ταῖς ναυσὶν, ἀντεμηχανήσαντό τε σβεστήρια κωλύματα, καὶ παύσαντες τὴν ὁλκάδα, καὶ τὸ μὴ προσελθεῖν ἐγγὺς τὴν ὁλκάδα, τοῦ κινδύνου ἀπηλλάγησαν.

νδ'. Μετὰ δὲ τοῦτο οἱ Συρακούσιοι μὲν τῆς τε ναυ-

veniſſet, ipſi quoque Athenienſes, qui ſuis ſubſidio venerant, & qui ſuis navibus timebant, cum ipſis proelium commiſerunt, victoſque perſecuti ſunt: & gravis armaturae milites non multos interfecerunt, & navium ſuarum maiorem quidem partem conſervarunt, & in ſua caſtra reduxerunt. Sed earum duodeviginti Syracuſani ſociique ceperunt, omneſque viros interfecerunt. Et in ceteras, quas concremare cupiebant, navem onerariam vetuſtam, quam ſarmentis ac taedis onerarant, (erat autem ventus in Athenienſes ſecundus) igne iniecto dimiſerunt. Athenienſes vero ſuae claſſi timentes, remedia ad ignem reſtinguendum idonea excogitarunt, reſtinctaque flamma, & impedito navis onerariae curſu, ne propius ad ſuas naves accederet, hoc periculo ſunt liberati.

LIV. Poſtea vero Syracuſani quidem tropaeum erexe-

μαχίας τροπαῖον ἔστησαν, καὶ τῆς ἄνω τῆς πρὸς τῷ τείχει ἀπολήψεως τῶν ὁπλιτῶν, ὅθεν καὶ τοὺς ἵππους ἔλαβον· Ἀθηναῖοι δὲ, ἥς τε οἱ Τυρσηνοὶ τροπῆς ἐποιήσαντο τῶν πεζῶν ἐς τὴν λίμνην, καὶ ἧς αὐτοὶ τῷ ἄλλῳ στρατοπέδῳ.

νέ. Γεγενημένης δὲ τῆς νίκης τοῖς Συρακουσίοις λαμπρᾶς ἤδη τοῦ ναυτικοῦ, (πρότερον μὲν γὰρ ἐφοβοῦντο τὰς μετὰ τοῦ Δημοσθένους ναῦς ἐπελθούσας) οἱ μὲν Ἀθηναῖοι ἐν παντὶ δὴ ἀθυμίας ἦσαν, καὶ ὁ παράλογος αὐτοῖς μέγας ἦν· πολὺ δὲ μείζων ἔτι τῆς στρατιᾶς ὁ μετάμελος. πόλεσι γὰρ ταύταις μόναις ἤδη ὁμοιοτρόπως ἐπελθόντες, δημοκρατουμέναις τε ὥσπερ καὶ αὐτοὶ, καὶ ναῦς καὶ ἵππους καὶ μεγέθη ἐχούσαις, οὐ δυνάμενοι ἐπενεγκεῖν οὔτε ἐκ πολιτείας τι μεταβολῆς τὸ

runt, cum navalis victoriae, tum gravis armaturae militum prius ante munitiones interceptorum, unde etiam equos ceperunt. Athenienſes vero & ipſi tropaeum erexerunt, tum Syracuſani peditatus ab Herruſcis fugati, & in paludem compulſi, tum reliquarum copiarum, quas ipſi cum ſuis reliquis copiis in fugam coniecerant.

LV. Cum autem Syracuſani iam inſignem victoriam navalem adepti fuiſſent, (prius enim reformidabant claſſem, quae cum Demoſthene advenerat) Athenienſes maximum animi moerorem omnibus ex rebus conceperunt, quod res longe aliter ipſis cecidiſſet, atque ſperaverant. Sed eos multo magis huius expeditionis poenitebat. Quod enim illis ſolis civitatibus bellum iam intuliſſent, quae iiſdem inſtitutis uterentur, & quae populari dominatu, ut & ipſi, regerentur, & quae claſſem & equitatum & potentiam haberent, quod etiam nullum diſſidium ex mutato reipu-

διάφορον αὐτοῖς, ᾧ προσήγοντο ἂν, οὔτ' ἐκ παρασκευῆς, πολλῷ κρείσσους, σφαλλόμενοι δὲ τὰ πλείω, τά τε πρὸ αὐτῶν ἡπόρουν, καὶ ἐπειδή γε ταῖς ναυσὶν ἐκρατήθησαν, (ὃ οὐκ ἂν ᾤοντο) πολλῷ δὴ μᾶλλον ἠθύμουν.

νοτ'. Οἱ δὲ Συρακούσιοι τόν τε λιμένα εὐθὺς παρέπλεον ἀδεῶς, καὶ τὸ στόμα αὐτοῦ διενοοῦντο κλείσειν, ὅπως μηκέτι, μηδ' εἰ βούλοιντο, λάθοιεν αὐτοὺς οἱ Ἀθηναῖοι ἐκπλεύσαντες. οὐ γὰρ περὶ τοῦ αὐτοὶ σωθῆναι μόνον ἔτι τὴν ἐπιμέλειαν ἐποιοῦντο, ἀλλὰ καὶ ὅπως ἐκείνους κωλύσωσι· νομίζοντες (ὅπερ ἦν) ἀπό τε τῶν παρόντων πολὺ σφῶν καθυπέρτερα τὰ πράγματα εἶναι, καὶ, εἰ δύναιντο κρατῆσαι Ἀθηναίων τε καὶ τῶν ξυμμάχων καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, καλὸν σφίσιν ἐς τοὺς Ἕλληνας τὸ ἀγώνισμα φανεῖσθαι. τούς τε

blicae ſtatu inter ipſos excitare poſſent, quo eos ſibi adiungerent, neque bellico apparatu, licet illis longe ſuperiores eſſent, eos ſubigere poſſent, ſed in pleriſque rebus ſui conatus infeliciter ſibi cederent, cum antea inopes erant conſilii, tum vero, poſtquam navali proelio ſuperati ſunt, (quod ſibi eventurum nunquam putaſſent) multo magis animis conſternatis eſſe coeperunt.

LVI. At Syracuſani ſtatim intrepide portum praetervecti, eius quoque oſtium claudere ſtatuerunt, ne Athenienſes, etiamſi vellent, clam ipſis illinc exirent. Nec enim ipſi iam de ſalute tuenda tantum erant ſolliciti, ſed etiam de ratione, qua illos impedirent, ne ſalutem ſibi parere poſſent. Exiſtimabant enim, (id quod erat) praeſentem rerum ſuarum ſtatum longe meliorem eſſe, &, ſi Athenienſes ſocioſque & terra & mari ſuperare poſſent, praeclarum ſibi certamen hoc apud Graecos viſum iri. Ce-

γὰρ ἄλλους Ἕλληνας εὐθὺς, τοὺς μὲν, ἐλευθερεῦσθαι, τοὺς δὲ, φόβου ἀπολύεσθαι. οὐ γὰρ ἔτι δυνατὴν ἔσεσθαι τὴν ὑπόλοιπον Ἀθηναίων δύναμιν τὸν ὕστερον ἐπενεχθησόμενον πόλεμον ἐνεγκεῖν· καὶ αὐτοὶ, δόξαντες αὐτῶν αἴτιοι εἶναι, ὑπό τε τῶν ἄλλων ἀνθρώπων καὶ τῶν ἔπειτα πολὺ θαυμασθήσεσθαι. καὶ ἦν δὲ ἄξιος ὁ ἀγὼν κατά τε ταῦτα, καὶ ὅτι οὐχὶ Ἀθηναίων μόνον περιεγίγνοντο, ἀλλὰ καὶ τῶν ἄλλων πολλῶν ξυμμάχων· καὶ οὐδ' αὐτοὶ αὖ μόνοι, ἀλλὰ καὶ μετὰ τῶν ξυμβοηθησάντων σφίσιν, ἡγεμόνες τε γιγνόμενοι μετὰ Κορινθίων καὶ Λακεδαιμονίων, καὶ τὴν σφετέραν πόλιν ἐμπαρασχόντες προκινδυνεῦσαί τε, καὶ τοῦ ναυτικοῦ μέγα μέρος προκόψαντες. ἔθνη γὰρ πλεῖστα δὴ ἐπὶ μίαν πόλιν ταύτην ξυνῆλθε, πλήν γε δὴ τοῦ ξύμπαντος λόγου

teros enim Graecos confeſtim, partim quidem ſervitute; partim vero metu liberatum iri. Reliquam enim Athenienſium potentiam nequaquam amplius ſatis virium habituram ad ſuſtinendum bellum, quod ipſis poſtea inferretur. Se autem, quod horum auctores fuiſſe viderentur, cum apud ceteros mortales, tum etiam apud poſteros magnae admirationi futuros. Et profecto certamen illud praeclarum erat futurum, cum his de cauſis, tum etiam quod non ſolum Athenienſes, ſed etiam multos alios eorum ſocios ſuperaturi eſſent. Neque vero ipſi tantum, ſed etiam una cum iis, qui auxilio ipſis veniſſent, quippe quod cum Corinthiis & Lacedaemoniis coniuncti duces ſe praeſtitiſſent, & ſuam urbem periculis obieciſſent, ac in navali proelio rem magna ex parte promoviſſent. Etenim plurimae gentes adverſus hanc unam urbem tunc confluxerant, excepta tamen tota illa multitudine, quae in hoc bello vel ad Athe-

τοῦ ἐν τῷδε τῷ πολέμῳ πρὸς τὴν Ἀθηναίων τε πόλιν καὶ Λακεδαιμονίων.

νζ'. Τοσοίδε γὰρ ἑκάτεροι ἐπὶ Σικελίαν τε καὶ περὶ Σικελίας, τοῖς μὲν ξυγκτησόμενοι τὴν χώραν, τοῖς δὲ ξυνδιασώσοντες, ἐπὶ Συρακούσας ἐπολέμησαν, οὐ κατὰ δίκην τι μᾶλλον, οὐδὲ κατὰ ξυγγένειαν μετ' ἀλλήλων στάντες, ἀλλ' ὡς ἑκάστοις τῆς ξυντυχίας ἢ κατὰ τὸ ξυμφέρον, ἢ ἀνάγκης ἔσχον. Ἀθηναῖοι μὲν αὐτοὶ Ἴωνες ἐπὶ Δωριέας Συρακουσίους ἑκόντες ἦλθον, καὶ αὐτοῖς τῇ αὐτῇ Φωνῇ καὶ νομίμοις ἔτι χρώμενοι Λήμνιοι, καὶ Ἴμβριοι, καὶ Αἰγινῆται, οἱ τότε Αἴγιναν εἶχον· καὶ ἔτι Ἑστιαιεῖς, οἱ ἐν Εὐβοίᾳ Ἑστίαιαν οἰκοῦντες, ἄποικοι ὄντες ξυνεστράτευσαν. τῶν δὲ ἄλλων οἱ μὲν ὑπήκοοι, οἱ

nienſium vel ad Lacedaemoniorum urbem convenerat.

LVII. Utrique enim cum tot gentium copiis, vel contra Siciliam, vel pro Sicilia, bellum ad Syracuſas geſſerunt: quorum alii quidem illuc ſe contulerunt, ut hos in illa regione ſubigenda iuvarent, alii vero ut cum illis Siciliam conſervarent, neque propter aliquod foederis ius potius, quam ob aliam cauſam, neque propter cognationem, vel has vel illas partes ſecuti ſunt; ſed ut ſinguli vel caſu, vel utilitate, vel neceſſitate adducti fuerunt. Atque ipſi quidem Athenienſes, qui erant Iones, Syracuſanis, qui erant Dorienſes, ultro bellum intulerunt; & cum ipſis eadem lingua & iiſdem praeterea inſtitutis utentes, Lemnii, & Imbrii, & Aeginetae, qui tunc Aeginam tenebant, ad idem bellum adverſus Syracuſanos ſunt profecti: praeterea Heſtiaeenſes, qui Heſtiaeam in Euboea ſitam incolunt, & qui Athenienſium ſunt coloni, eiuſdem militiae ſocii fuerunt. Ad eandem etiam expeditionem cum illis iverunt alii, par-

δ' ἀπὸ ξυμμαχίας αὐτόνομοι, εἰσὶ δ' οἳ καὶ μισθοφόρει ξυνεστράτευον. καὶ τῶν μὲν ὑπηκόων καὶ φόρου ὑποτελῶν, Ἐρετριεῖς, καὶ Χαλκιδεῖς, καὶ Στυρεῖς, καὶ Καρύστιοι, ἀπ' Εὐβοίας ἦσαν· ἀπὸ δὲ νήσων, Κεῖοι, καὶ Ἄνδριοι, καὶ Τήϊοι· ἐκ δ' Ἰωνίας, Μιλήσιοι, καὶ Σάμιοι, καὶ Χῖοι. τούτων Χῖοι οὐχ ὑποτελεῖς ὄντες φόρου, ναῦς δὲ παρέχοντες, αὐτόνομοι ξυνέσποντο, καὶ τοπλεῖστον Ἴωνες ὄντες οὗτοι πάντες, καὶ ἀπ' Ἀθηναίων, πλὴν Καρυστίων. οὗτοι δ' εἰσὶ Δρύοπες. ὑπήκοοι δ' ὄντες, καὶ ἀνάγκη ὅμως Ἴωνές τε ἐπὶ Δωριέας ἠκολούθουν. πρὸς δ' αὐτοῖς Αἰολεῖς, Μηθυμναῖοι μὲν ναυσὶ καὶ οὐ φόρῳ ὑπήκοοι, Τενέδιοι δὲ καὶ Αἴνιοι, ὑποτελεῖς. οὗτοι δὲ Αἰολεῖς Αἰολεῦσι τοῖς κτίσασι Βοιωτοῖς μετὰ Συρα-

tim ſubditi, partim ſocii, qui ſuis legibus vivebant, partim etiam mercede conducti. Atque ex ſubditis quidem & tributariis, Eretrienſes, & Chalcidenſes, & Styrenſes, & Caryſtii, ex Euboea erant: ex inſulis vero, Cei, Andrii, & Teii: ex Ionia vero, Mileſii, Samii, & Chii. Inter hos autem Chii, qui tributorum immunes erant, ſed tantum navibus ſuppeditandis obnoxii, illius belli ſocietatem liberi ſequebantur; atque horum omnium plerique, praeter Caryſtios, Iones ſunt, & ab Athenienſibus oriundi. Hi vero Caryſtii ſunt Dryopes. Quamvis autem iſti omnes, exceptis Caryſtiis, eſſent Iones, & Athenienſium imperio ſubiecti, tamen eos vel neceſſitate coacti contra Dorienſes ſequebantur. Praeter hos autem, Aeolenſes: & Methymnaei quidem Athenienſibus parebant, ſed naves tantum illis ſuppeditabant, nullum vero tributum pendebant; Tenedii vero & Aenii vectigales erant. Iſti vero Aeolenſes cum Boeotis Aeolenſibus, & ſuarum coloniarum condito-

κουσίων κατ' ἀνάγκην ἐμάχοντο. Πλαταιεῖς δὲ καταντικρὺ Βοιωτοὶ Βοιωτοῖς μόνοι εἰκότως κατ' ἔχθος. Ῥόδιοι δὲ καὶ Κυθήριοι, Δωριεῖς ἀμφότεροι. οἱ μὲν Λακεδαιμονίων ἄποικοι Κυθήριοι, ἐπὶ Λακεδαιμονίους τοὺς ἅμα Γυλίππῳ μετὰ Ἀθηναίων ὅπλα ἔφερον· Ῥόδιοι δὲ, Ἀργεῖοι γένος, Συρακουσίοις μὲν Δωριεῦσι, Γελῴοις δὲ καὶ ἀποίκοις ἑαυτῶν οὖσι μετὰ Συρακουσίων στρατευομένοις ἠναγκάζοντο πολεμεῖν. τῶν τε περὶ Πελοπόννησον νησιωτῶν Κεφαλλῆνες μὲν καὶ Ζακύνθιοι, αὐτόνομοι μὲν, κατὰ δὲ τὸ νησιωτικὸν μᾶλλον κατειργόμενοι, ὅτι. θαλάσσης ἐκράτουν Ἀθηναῖοι, ξυνείποντο. Κερκυραῖοι δὲ οὐ μόνον Δωριεῖς, ἀλλὰ καὶ Κορίνθιοι σαφῶς ἐπὶ Κορινθίους τε καὶ Συρακουσίους, τῶν μὲν ἄποικοι ὄντες, τῶν

ribus, qui cum Syracuſanis ſe coniunxerant, neceſſitate coacti pugnarunt. Plataeenſes vero inter Bocotos ſoli cum Boeotis palam, idque iure inimicitiarum conflixerunt. Rhodii vero & Cytherii, Dorienſes utrique: ſed tamen Cytherii Lacedaemoniorum coloni, cum Athenienſibus contra Lacedaemonios, qui cum Gylippo erant, arma ferebant; Rhodii vero, qui ab Argivis erant oriundi, Syracuſanis, qui Dorienſes erant, quin etiam Gelois, ſuis colonis, qui cum Syracuſanis militabant, bellum facere cogebantur. Ex inſularum vero incolis, qui circa Peloponneſum erant, Cephallenſes & Zacynthii, liberi illi quidem, quia tamen inſulas incolebant, & ideo ab Athenienſibus, qui maris imperium tunc obtinebant, magis coërcebantur, quam qui ſedes in locis mediterraneis habebant, illos inviti ſequebantur. At Corcyraei non ſolum Dorienſes, ſed etiam Corinthii, palam adverſus Corinthios atque Syracuſanos, quamvis illorum quidem eſſent coloni, horum

δὲ ξυγγενεῖς, ἀνάγκῃ μὲν, ἐκ τοῦ εὐπρεποῦς, βουλήσει δὲ, κατὰ ἔχθος τὸ Κορινθίων, οὐχ ἧσσον εἵποντο. καὶ οἱ Μεσσήνιοι νῦν καλούμενοι ἐν Ναυπάκτῳ, καὶ ἐκ Πύλου τότε ὑπ' Ἀθηναίων ἐχομένης, ἐς τὸν πόλεμον παρελήφθησαν. καὶ ἔτι Μεγαρέων φυγάδες οὐ πολλοὶ, Μεγαρεῦσι Σελινουντίοις οὖσι κατὰ ξυμφορὰν ἐμάχοντο. τῶν δὲ ἄλλων ἑκούσιος μᾶλλον ἡ στρατεία ἐγίγνετο ἤδη. Ἀργεῖοι μὲν οὐ τῆς ξυμμαχίας ἕνεκα μᾶλλον, ἢ τῆς Δακεδαιμονίων τε ἔχθρας, καὶ τῆς παραυτίκα ἕκαστοι ἰδίας, Δωριεῖς ἐπὶ Δωριέας μετὰ Ἀθηναίων Ἰώνων ἠκολούθουν. Μαντινεῖς δὲ καὶ ἄλλοι Ἀκράδων μισθοφόροι, ἐπὶ τοὺς ἀεὶ πολεμίους σφίσιν ἀποδεικνυμένους ἰέναι εἰωθότες, καὶ τότε τοὺς μετὰ τῶν Κορινθίων

vero cognati, tamen neceſſitate quidem, quoad ſpecioſam honeſtatis cauſam, quam praetendebant, quod Leontinos in ſuas ſedes reſtituere vellent, ſua vero ſponte, propter odium, quo Corinthios proſequebantur, Athenienſes non minus ſequebantur, quam alii. Meſſenii quoque, qui nunc ſic appellantur, & qui Naupactum incolunt, & alii ex Pylo, quae tunc ab Athenienſibus tenebatur, ad hoc bellum aſſumti fuerunt. Item Megarenſium exſules non multi, cum Selinuntiis, qui Megarenſes erant, propter exſilii calamitatem pugnarunt. Iam vero ceteri ſua ſponte potius, quam neceſſitate coacti, hanc expeditionem ſunt ſecuti. Argivi quidem non magis ſocietatis gratia, quam propter ſuum in Lacedaemonios odium, & ſinguli propter privatum ac praeſens in aliquos odium, Dorienſes adverſus Dorienſes, ſecuti ſunt Athenienſes, qui ſunt Iones. Mantinei etiam & ceteri Arcades mercede conducti, qui ſemper alias hoſtibus, quicunque ipſis propoſiti fuiſſent, bellum inferre

ἐλθόντας Ἀρκάδας, οὐδὲν ἧσσον διὰ κέρδος ἡγούμενοι πολεμίους· Κρῆτες δὲ καὶ Αἰτωλοὶ, μισθῷ καὶ αὐτοὶ πεισθέντες. ξυνέβη δὲ τοῖς Κρησὶ τὴν Γέλαν Ῥοδίοις ξυγκτίσαντας, μὴ ξὺν τοῖς ἀποίκοις ἀλλ' ἐπὶ τοὺς ἀποίκους ἥκοντας μετὰ μισθοῦ ἐλθεῖν. καὶ Ἀκαρνάνων τινὲς ἅμα μὲν κέρδει, τὸ δὲ πλέον Δημοσθένους φιλίᾳ καὶ Ἀθηναίων εὐνοίᾳ, ξύμμαχοι ὄντες, ἐπεκούρησαν. καὶ οἵδε μὲν τῷ Ἰονίῳ κόλπῳ ὁριζόμενοι. Ἰταλιωτῶν δὲ, Θούριοι καὶ Μεταπόντιοι ἐν τοιαύταις ἀνάγκαις τότε στασιωτικῶν καιρῶν κατειλημμένων ξυνεστράτευον, καὶ Σικελιωτῶν, Νάξιοι καὶ Καταναῖοι. βαρβάρων δὲ Ἐγεσταῖοι οἵπερ ἐπηγάγοντο καὶ Σικελιωτῶν τὸ πλέον, καὶ

consueverant, tunc illos etiam Arcades, qui cum Corinthiis in Siciliam iverant, nihilo minus, quam alios quoslibet, lucri gratia hostium loco habuerunt. Cretenses etiam ac Aetoli, mercede & ipsi adducti, cum Athenienſibus ad hoc bellum sunt profecti. Accidit autem, ut Cretenses, qui cum Rhodiis Gelam condiderant, non a suis colonis starent, sed contra suos colonos, ultro, mercede allecti militarent. Acarnanum quoque nonnulli, cum lucri causa, tum vero multo magis propter amorem, quo Demosthenem, & propter benevolentiam, qua Athenienses (quorum socii erant) prosequebantur, illis auxilium tulerunt. Atque hi quidem intra sinus Ionii fines habitabant. Ex Italicis vero populis, qui huiusmodi temporum angustiis & reipublicae seditione tunc intercepti fuerant, & Thurii & Metapontini eandem militiam sunt secuti: ex Sicilienſibus vero, Naxii & Catanaei. Ex barbaris Egestaei, qui etiam bonam Sicilienſium partem, & multos illorum, qui extra Siciliam habitabant, secum adduxerunt:

τῶν ἔξω Σικελίας. Τυρσηνῶν τέ τινες, κατὰ διαφορὰν Συρακουσίων, καὶ Ἰάπυγες μισθοφόροι. τοσάδε μὲν μετὰ Ἀθηναίων ἔθνη ἐστράτευον.

νη'. Συρακουσίοις δὲ ἀντεβοήθησαν καὶ Καμαριναῖοι μὲν, ὅμοροι ὄντες, καὶ Γελῶοι οἰκοῦντες μετ' αὐτούς. ἔπειτα, Ἀκραγαντίνων ἡσυχαζόντων, ἐν τῷ ἐπέκεινα ἱδρυμένοι Σελινούντιοι. καὶ οἵδε μὲν τῆς Σικελίας τὸ πρὸς Λιβύην μέρος τετραμμένον νεμόμενοι. Ἱμεραῖοι δὲ ἀπὸ τοῦ πρὸς τὸν Τυρσηνικὸν πέντον μορίου, ἐν ᾧ καὶ μόνοι Ἕλληνες οἰκοῦσιν. οὗτοι δὲ καὶ μόνοι ἐξ αὐτοῦ ἐβοήθησαν. καὶ Ἑλληνικὰ μὲν ἔθνη τῶν ἐν Σικελίᾳ τοσάδε, Δωριεῖς τε καὶ οἱ αὐτόνομοι πάντες, ξυνεμάχουν· βαρβάρων δὲ Σικελοὶ μόνοι, ὅσοι μὴ ἀφέστασαν πρὸς τοὺς Ἀθηναίους. τῶν δ' ἔξω Σικελίας Ἑλλήνων, Λακεδαι-

Hetruſcorum etiam nonnulli, propter inimicitias, quas cum Syracuſanis gerebant, & Iapyges mercenarii. Atque tot quidem gentes cum Athenienſibus militarunt.

LVIII. Viciſſim autem Syracuſanis opem tulerunt & Camarinaei, qui erant illis finitimi, & Geloi, qui poſt hos habitabant. Deinde, Agrigentinis quieſcentibus, Selinuntii, qui ſedes in illis partibus habent. Atque hi quidem incolebant eam Siciliae partem, quae Africam verſus ſpectat. Himeraei vero ab ea parte, quae mare Tyrrhenum ſpectat, in qua etiam ſoli ex omnibus Graecis habitabant. Iſti etiam, inquam, ſoli illinc Syracuſanis auxilio venerunt. Atque tot quidem nominis Graeci gentes, quae in Sicilia ſedes habebant, & Dorienſes & omnes ſui iuris, in hoc bello Syracuſanos adiuverunt: ex barbaris vero ſoli Siculi, quotquot defectione a Syracuſanis facta ad Athenienſes non tranſierant, opem ipſis tulerunt. Ex Graecis

μόνιοι μὲν ἡγεμόνα Σπαρτιάτην παρεχόμενοι, Νεοδαμώδεις δὲ τοὺς ἄλλους, καὶ Εἵλωτας. δύναται δὲ τὸ Νεοδαμῶδες ἐλεύθερον ἤδη εἶναι. Κορίνθιοι δὲ καὶ ναυσὶ καὶ πεζῷ μόνοι παραγενόμενοι, καὶ Λευκάδιοι, καὶ Ἀμπρακιῶται, κατὰ τὸ ξυγγενές. ἐκ δὲ Ἀρκαδίας, μισθοφόροι ὑπὸ Κορινθίων ἀποσταλέντες, καὶ Σικυώνιοι ἀναγκαστοὶ στρατεύοντες· καὶ τῶν ἔξω Πελοποννήσου, Βοιωτοί. πρὸς δὲ τοὺς ἐπελθόντας τούτους οἱ Σικελιῶται αὐτοὶ πλῆθος πλέον κατὰ πάντα παρέσχοντο, ἅτε μεγάλας πόλεις οἰκοῦντες. καὶ γὰρ ὁπλῖται πολλοὶ καὶ νῆες καὶ ἵπποι, καὶ ἄλλος ὅμιλος ἄφθονος ξυνελέγη. καὶ πρὸς ἅπαντας αὖθις ὡς εἰπεῖν τοὺς ἄλλους Συρακουσίους αὐτοὶ πλείω ἐπορίσαντο διὰ μέγεθος πόλεως, καὶ ὅτι ἐν μεγίστῳ κινδύνῳ ἦσαν.

vero, qui ſunt extra Siciliam, Lacedaemonii quidem eos adiuverunt, ipſis ducem Spartanum praebentes, militemque ex Neodamodibus & Helotibus. Iſti autem Neodamodes iam liberi eſſe poſſunt. Corinthii vero & claſſe & peditatu ſoli, & Leucadii, & Ambraciotae, propter cognationem, illuc profecti. Ex Arcadia vero, mercenarii milites a Corinthiis miſſi, & Sicyonii coacti militiam illam ſunt ſecuti. Ex illis autem, qui ſunt extra Peloponneſum, Boeoti. Sed ad iſtas adventitias copias ipſi Sicilienſes omnium rerum, ad hoc bellum neceſſariarum, multitudinem longe maiorem contulerunt, quippe qui magnas urbes incolerent. Etenim & multi gravis armaturae milites, & naves, & equi, & alia maxima multitudo collecta fuit. Verum prae ceteris omnibus, ut ita loquar, ipſi Syracuſani plus copiarum ſuppeditaverunt, idque propter urbis magnitudinem, & quod in proximo diſcrimine verſabantur.

νθ'. Καὶ αἱ μὲν ἑκατέρων ἐπικουρίαι, τοσαίδε ξυνελέγησαν. καὶ τότε ἤδη πᾶσαι ἀμφοτέροις παρῆσαν, καὶ οὐκέτι οὐδὲν οὐδετέροις ἐπῆλθεν. οἵ τε οὖν Συρακούσιοι καὶ οἱ ξύμμαχοι εἰκότως ἐνόμισαν καλὸν ἀγώνισμα σφίσιν εἶναι ἐπὶ τῇ γεγενημένῃ νίκῃ τῆς ναυμαχίας, ἐλεῖν τε τὸ στρατόπεδον ἅπαν τῶν Ἀθηναίων, τοσοῦτον ὄν, καὶ μηδὲ καθ' ἑκάτερα αὐτοὺς, μήτε διὰ θαλάσσης, μήτε τῷ πεζῷ διαφυγεῖν. ἔκλειον οὖν τόν τε λιμένα εὐθὺς τὸν μέγαν, ἔχοντα τὸ στόμα ὀκτὼ σταδίων μάλιστα, τριήρεσι πλαγίαις, καὶ πλοίοις, καὶ ἀκάτοις, ἐπ' ἀγκυρῶν ὁρμίζοντες. καὶ τἆλλα, ἢν ἔτι ναυμαχεῖν οἱ Ἀθηναῖοι τολμήσωσι, παρεσκευάζοντο· καὶ ὀλίγον οὐδὲν ἐς οὐδὲν ἐπενόουν.

ξ'. Τοῖς δὲ Ἀθηναίοις τήν τε ἀπόκλεισιν ὁρῶσι, καὶ

LIX. Atque haec quidem fuerunt utrorumque auxilia undique collecta. Atque haec omnia tunc utriſque praeſto fuerunt, nec ullum praeterea auxilium amplius aut ad hos aut ad illos venit. Syracuſani igitur ſociique merito praeclarum certamen ſibi propoſitum eſſe duxerunt, ſi, praeter navalem victoriam, quam adepti fuerant, univerſum etiam Athenienſium exercitum, qui tantus eſſet, debellaſſent, & illos ab utraque parte, & mari & terra, effugere prohibuiſſent. Itaque continuo magnum portum claudere coeperunt, qui octo ferme ſtadiorum oſtium habebat, tranſverſis triremibus, & navigiis, & ſcaphis, eas ancoris ſtabilientes. Et cetera, ſi Athenienſes navale proelium adhuc committere auderent, praeparabant: & in nullo quidquam parvum animo agitabant.

LX. Athenienſes autem, cum hanc portus obſtructionem viderent, & cereras illorum cogitationes cognoſce-

τὴν ἄλλην διάνοιαν αὐτῶν αἰσθομένοις, βουλευτέα ἐδόκει. καὶ ξυνελθόντες οἵ τε στρατηγοὶ καὶ οἱ ταξίαρχοι, πρὸς τὴν παροῦσαν ἀπορίαν τῶν τε ἄλλων, καὶ ὅτι τὰ ἐπιτήδεια οὔτε αὐτίκα ἔτι εἶχον, (προπέμψαντες γὰρ ἐς Κατάνην ὡς ἐκπλευσόμενοι, ἀπεῖπον μὴ ἐπάγειν) οὔτε τοὐπιὸν ἔμελλεν ἕξειν, εἰ μὴ ναυκρατήσουσιν· ἐβουλεύσαντο τὰ μὲν τείχη τὰ ἄνω ἐκλιπεῖν, πρὸς δὲ αὐταῖς ταῖς ναυσὶν ἀπολαβόντες διατείχισμά τι, ὅσον οἷόν τε ἐλάχιστον τοῖς τε σκεύεσι καὶ τοῖς ἀσθενέσιν ἱκανὸν γενέσθαι, τοῦτο μὲν φρουρεῖν, ἀπὸ δὲ τοῦ ἄλλου πεζοῦ τὰς ναῦς πάσας, ὅσαι ἦσαν καὶ δυναταὶ καὶ ἁπλοώτεραι, πάντα τινὰ ἐσβιβάζοντες πληρῶσαι. καὶ διαναυμαχήσαντες, ἢν μὲν νικῶσιν, ἐς Κατάνην κομίζεσθαι, ἢν δὲ μή, ἐμπρήσαντες τὰς ναῦς, πεζῇ ξυνταξά-

rent, conſultandum eſſe cenſuerunt. Quare duces & centuriones congregati, propter praeſentes difficultates cum aliarum rerum, tum vero praecipue quod nec in praeſentia commeatus amplius haberent, (nam nuntiis Catanam praemiſſis, quod illinc diſcedere ſtatuiſſent, Catanaeis interdixerant, ne adveherent) nec in poſterum habituri eſſent, niſi claſſe Syracuſanos ſuperarent, cenſuerunt, ſuperiores munitiones eſſe deferendas, & locum aliquem prope ipſas naves occupandum, & munimento quam minimo poſſent concludendum, tantum quod ad utenſilia & aegrotos capiendos ſatis eſſet, atque hoc quidem praeſidio tuendum: reliquo vero peditatu naves omnes, tam eas, quae ad navigationem eſſent idoneae, quam eas, quae non eſſent idoneae ad navigandum, explendas, ita ut quoslibet in eas imponerent. & navali proelio commiſſo, ſi vincerent, Catanam ſe reciperent; ſin ſecus, incenſa claſſe, pe-

μένοι ἀποχωρεῖν ἢ ἂν τάχιστα μέλλωσί τινος χωρίου ἢ βαρβαρικοῦ ἢ Ἑλληνικοῦ στρατεύματος ἀντιλήψεσθαι. καὶ οἱ μὲν, ὡς ἔδοξεν αὐτοῖς ταῦτα, καὶ ἐποίησαν. ἔκ τε γὰρ τῶν ἄνω τειχῶν ὑποκατέβησαν, καὶ τὰς ναῦς ἐπλήρωσαν πάσας· ἀναγκάσαντες ἐσβαίνειν ὅστις καὶ ὁπωσοῦν ἐδύνει ἡλικίας μετέχων ἐπιτήδειος εἶναι. καὶ ξυνεπληρώθησαν νῆες αἱ πᾶσαι, δέκα μάλιστα καὶ ἑκατόν. τοξότας τε ἐπ' αὐτὰς πολλοὺς καὶ ἀκοντιστὰς τῶν τε Ἀκαρνάνων καὶ τῶν ἄλλων ξένων ἐσεβίβαζον· καὶ τἆλλα ὡς οἷόν τ' ἦν ἐξ ἀναγκαίου τε καὶ τοιαύτης διανοίας ἐπορίσαντο. ὁ δὲ Νικίας, ἐπειδὴ τὰ πολλὰ ἕτοιμα ἦν, ὁρῶν καὶ τοὺς στρατιώτας τῷ τε παρὰ τὸ εἰωθὸς πολὺ ταῖς ναυσὶ κρατηθῆναι ἀθυμοῦντας, καὶ διὰ τὴν τῶν ἐπιτηδείων σπάνιν ὡστάχιστα βουλομένους διακινδυνεύειν,

destri itinere, acie instructa abirent, qua parte celerrime locum aliquem, aut barbaricum aut Graecum, qui amicus esset, adipisci possent. Atque hi quidem, ut haec ipsis fieri placuit, sic etiam illico fecerunt. Nam & ex superioribus munitionibus ad litus descenderunt, omnesque naves compleverunt; cunctis eas ingredi coactis, quicunque per aetatem quoquo modo ad aliquem rei navalis usum idonei esse videbantur. Universae autem naves ad centum ac decem completae fuerunt. Multos autem sagittarios & iaculatores, & Acarnanum, & aliorum peregrinorum, in eas imposuerunt; & cetera, prout ipsis in eas angustias compulsis, & huiusmodi cogitationes habentibus licebat, compararunt. Nicias autem, rebus magna ex parte iam paratis, videns milites animo consternatos esse, quod praeter solitum navali proelio longe superati fuissent, & propter commeatuum inopiam velle quam celerrime belli for-

ξυγκαλέσας ἅπαντας, παρεκελεύσατο τότε πρῶτον, καὶ ἔλεξε τοιάδε.

ξά'. ΑΝΔΡΕΣ στρατιῶται Ἀθηναίων τε καὶ τῶν ἄλλων ξυμμάχων, ὁ μὲν ἀγὼν ὁ μέλλων ὁμοίως κοινὸς ἅπασιν ἔσται, περί τε σωτηρίας καὶ πατρίδος ἑκάστοις οὐχ ἧσσον ἢ τοῖς πολεμίοις. ἢν γὰρ κρατήσωμεν νῦν ταῖς ναυσὶν, ἐστί τῳ τὴν ὑπάρχουσάν που οἰκείαν πόλιν ἐπιδεῖν. ἀθυμεῖν δὲ οὐ χρὴ, οὐδὲ πάσχειν ὅπερ οἱ ἀπειρότατοι τῶν ἀνθρώπων, οἳ τοῖς πρώτοις ἀγῶσι σφαλέντες, ἔπειτα διαπαντὸς τὴν ἐλπίδα τοῦ φόβου ὁμοίαν ταῖς ξυμφοραῖς ἔχουσιν. ἀλλ' ὅσοι τε Ἀθηναίων πάρεστε, πολλῶν ἤδη πολέμων ἔμπειροι ὄντες, καὶ ὅσοι τῶν ξυμμάχων ξυστρατευόμενοι ἀεὶ, μνήσθητε τῶν ἐν τοῖς πολέμοις παραλόγων, καὶ τὸ τῆς τύχης κἂν μεθ' ἡμῶν ἐλπίσαντες στῆναι, καὶ ὡς ἀναμαχούμενοι ἀξίως τοῦδε

tunam periclitari, omnes convocatos, tunc primum eſt adhortatus, & haec verba fecit.

LXI. *MILITES Athenienſes, & vos alii ſocii, certamen quidem, quod nobis eſt ineundum, omnibus pariter erit commune, & unicuique de ſalute & patria, non minus quam hoſtibus noſtris futurum eſt. Nam ſi navali proelio nunc vicerimus, ſuam cuique civitatem, ubicunque illa fuerit, reviſere licebit. Sed animum abiicere non oportet, nec idem pati, quod imperitiſſimis hominibus accidere ſolet: qui, ſi primis in proeliis rem infeliciter geſſerint, deinde ſimiles calamitates perpetuo formidant. Sed quotquot Athenienſes hic adeſtis, qui multorum bellorum notitiam habetis, & quotquot ſocii, qui noſtri commilitones ſemper fuiſtis, eſtote memores, bellorum exitus incertos eſſe, & fortunam a nobis quoque ſtaturam ſperantes, ad iterum pugnandum vos prae-*

τοῦ πλήθους, ὅσον αὐτοὶ ὑμῶν αὐτῶν ἐφορᾶτε, παρασκευάζεσθε.

ξβ'. Ἃ δὲ ἀρωγὰ ἐνείδομεν ἐπὶ τῇ τοῦ λιμένος στενότητι, πρὸς τὸν μέλλοντα ὄχλον τῶν νεῶν ἔσεσθαι, καὶ πρὸς τὴν ἐκείνων ἐπὶ τῶν καταστρωμάτων παρασκευὴν, οἷς πρότερον ἐβλαπτόμεθα, πάντα καὶ ἡμῖν νῦν, ἐκ τῶν παρόντων, μετὰ τῶν κυβερνητῶν ἐσκεμμένα ἡτοίμασται. καὶ γὰρ τοξόται πολλοὶ καὶ ἀκοντισταὶ ἐπιβήσονται, καὶ ὄχλος, ὦ, ναυμαχίαν μὲν ποιούμενοι ἐν πελάγει, οὐκ ἂν ἐχρώμεθα, διὰ τὸ βλάπτειν ἂν τὸ τῆς ἐπιστήμης τῇ βαρύτητι τῶν νεῶν· ἐν δὲ τῇ ἐνθάδε ἠναγκασμένῃ ἀπὸ τῶν νεῶν πεζομαχίᾳ πρόσφορα ἔσται. εὕρηται δ' ἡμῖν ὅσα χρὴ ἀντιναυπηγεῖσθαι, καὶ πρὸς τὰς τῶν ἐπωτίδων αὐτοῖς παχύτητας, ὥπερ μάλιστα ἐβλαπτόμεθα, χειρῶν σιδηρῶν ἐπιβολαὶ, αἳ σχήσουσι τὴν

parate, prout decet tantam veſtrúm multitudinem, quantam vos ipſi videtis.

LXII. *Quae autem in his portus anguſtiis nobis profutura cognovimus, adverſus futuram navium turbam, & adverſus illorum apparatum ac milites in navium tabulatis futuros, unde prius damno fuimus affecti, haec etiam omnia nunc, pro praeſenti rerum facultate, cum gubernatoribus excogitavimus atque paravimus. Nam ſagittarii multi & iaculatores in naves aſcendent, & multitudo, qua, ſi navale proelium in alto committeremus, non uteremur, quia navium onus rei nauticae diſciplinam impediret. Sed hic in pedeſtri proelio, quod ex navibus committere cogemur, utilis erit. Praeterea excogitavimus etiam remedia, quae adverſus naves hoſtiles in navibus aedificandis erant paranda, & adverſus epotidum craſſitudinem (quod praecipue obfuit) ferreas manus comparavimus, quas illorum navibus iniiciemus, quae*

πάλιν ἀνάκρουσιν τῆς προσπεσούσης νεὼς, ἣν τὰ ἐπὶ τούτοις οἱ ἐπιβάται ὑπουργῶσιν. ἐς τοῦτο γὰρ δὴ ἠναγκάσμεθα ὥστε πεζομαχεῖν ἀπὸ τῶν νεῶν. καὶ τὸ μήτε αὐτοὺς ἀναχρούεσθαι, μήτ' ἐκείνους ἐᾶν, ὠφέλιμον φαίνεται· ἄλλως τε καὶ τῆς γῆς, πλὴν ὅσον ἂν ὁ πεζὸς ἡμῶν ἐπέχῃ, πολεμίας οὔσης.

ξγ'. Ὧν χρὴ μεμνημένους, διαμάχεσθαι ὅσον ἂν δύνησθε, καὶ μὴ ἐξωθεῖσθαι ἐς αὐτὴν, ἀλλὰ ξυμπεσούσης νηὶ νεὼς, μὴ πρότερον ἄξιον ἀπολύεσθαι, ἢν μὴ τοὺς ἀπὸ τοῦ πολεμίου καταστρώματος ὁπλίτας ἀπαράξητε. καὶ ταῦτα τοῖς ὁπλίταις οὐχ ἧσσον τῶν ναυτῶν παρακελεύομαι, ὅσῳ τῶν ἄνωθεν μᾶλλον τὸ ἔργον τοῦτο. ὑπάρχει δ' ὑμῖν ἔτι νῦν γε ταπλείῳ τῷ πεζῷ ἐπικρατεῖν. τοῖς δὲ ναύταις παραινῶ, καὶ ἐν τῷ αὐτῷ τῷδε καὶ δέομαι, μὴ ἐκπεπλῆχθαί τι ταῖς ξυμφοραῖς

navem hoſtilem, cum invaſerit, retinebunt, ne retro ſe recipiat, ſi modo veſtiores, quae poſtea requiruntur, exſequantur. In eam enim neceſſitatem iam ſumus compulſi, ut pedeſtre proelium ex navibus committere coganur. Hoc autem nobis utile eſſe conſtat, ut neque ipſi ab hoſtili claſſe reſiliamus, neque illos a noſtra reſilire permittamus: praeſertim quod terra ſit hoſtilis, praeter eam, quam noſter peditatus obtinuerit.

LXIII. *Quorum vos memores oportet totis viribus conſtanter pugnare, nec ſinere vos ad eam propelli, ſed cum navis cum navi conſligere coeperit, exiſtimare, non decere prius ab hoſtibus dirimi, quam de hoſtili tabulato milites deturbaritis. Atque ad haec non minus milites, quam nautas, adhortor, atque eo quidem magis, quo magis eorum, qui deſuper pugnant, hoc officium eſt. Quin etiam in vobis ſitum eſt, nunc quoque magnam victoriae partem peditatu conſequi. Nautas vero adhortor, quia etiam ſimul*

ἄγαν, τήν τε παρασκευὴν ἀπὸ τῶν καταστρωμάτων βελτίω νῦν ἔχοντας, καὶ τὰς ναῦς πλείους. ἐκείνην τε τὴν ἡδονὴν ἐνθυμεῖσθαι ὡς ἀξία ἐστὶ διασώσασθαι, οἳ τέως Ἀθηναίοις νομιζόμενοι καὶ μὴ ὄντες ὑμῶν, τῆς τε Φωνῆς τῇ ἐπιστήμῃ, καὶ τῶν τρόπων τῇ μιμήσει, ἐθαυμάζεσθε κατὰ τὴν Ἑλλάδα, καὶ τῆς ἀρχῆς τῆς ἡμετέρας οὐκ ἔλασσον κατὰ τὸ ὠφελεῖσθαι, ἔς τε τὸ σοβερὸν τοῖς ὑπηκόοις, καὶ τὸ μὴ ἀδικεῖσθαι, πολὺ πλεῖον μετείχετε. ὥστε κοινωνοὶ μόνοι ἐλευθέρως ἡμῖν τῆς ἀρχῆς ὄντες, δικαίως ἂν αὐτὴν νῦν μὴ καταπροδίδοιτε· καταφρονήσαντες δὲ Κορινθίων τε, οὓς πολλάκις νενικήκατε, καὶ Σικελιωτῶν, ὧν οὐδ' ἀντιστῆναι οὐδεὶς, ἕως ἤκμαζε τὸ ναυτικὸν, ἡμῖν ἠξίωσεν, ἀμύνασθε αὐτοὺς, καὶ δείξατε ὅτι καὶ μετὰ ἀσθενείας καὶ ξυμφορῶν ἡ ὑμετέ-

obsecro, ne propter clades acceptas animo nimis consternato sitis: tum quia firmiorem apparatum ex tabulatis, tum etiam quia plures naves nunc habetis. Praeterea oportet vos considerare, quam operae pretium sit illam voluptatem a vobis conservari, quotquot de vobis antea pro Athenienſibus, quamvis non essetis Athenienses, habebamini, & cum ob nostrae linguae peritiam, tum ob institutorum imitationem, apud omnem Graeciam suspiciebamini, &, quod attinet ad utilitates, quae ex imperio percipi solent, imperii nostri participes eratis non minus, quam nos indigenae, immo vero multo magis, tum quod populis imperio nostro subiectis terrorem incuteretis, tum etiam quod ab aliis non laederemini. Itaque cum soli, idque libere, socii sitis imperii nostri, merito nunc, illud ne prodatis, cavere debetis. Et, contemtis Corinthiis, quos saepe superastis, & Sicilienſibus, quorum nullus, quamdiu nostra classis vigebat, nobis resistere est ausus, eos propulsate, & declarate, vestram scientiam, vel cum imbecillitate & calamitati-

ρα ἐπιστήμη κρείσσων ἐστὶν ἑτέρας εὐτυχούσης ῥώμης.

ξδ'. Τούς τε Ἀθηναίους ὑμῶν πάλιν αὖ καὶ τάδε ὑπομιμνήσκω, ὅτι οὔτε ναῦς ἐν τοῖς νεωσοίκοις ἄλλας ὁμοίας ταῖσδε, οὔτε ὁπλιτῶν ἡλικίαν ὑπελίπετε. εἴτε ξυμβήσεταί τι ἄλλο ἢ τὸ κρατεῖν ὑμῖν, τούς τε ἐνθάδε πολεμίους εὐθὺς ἐπ' ἐκεῖνα πλευσουμένους, καὶ τοὺς ἐκεῖ ὑπολοίπους ἡμῶν ἀδυνάτους ἐσομένους τούς τε αὐτοῦ καὶ τοὺς ἐπελθόντας ἀμύνασθαι. καὶ οἱ μὲν ἂν ὑπὸ Συρακουσίοις εὐθὺς γίγνοισθε, οἷς αὐτοὶ ἴστε οἵᾳ γνώμῃ ἐπήλθετε· οἱ δ' ἐκεῖ, ὑπὸ Λακεδαιμονίοις. ὥστε ἐν ἑνὶ τῷδε ὑπὲρ ἀμφοτέρων ἀγῶνι καθεστῶτες καρτερήσατε, εἴπερ ποτέ, καὶ ἐνθυμεῖσθε καθ' ἑκάστους τε καὶ ξύμπαντες, ὅτι οἱ ἐν ταῖς ναυσὶν ὑμῶν νῦν ἐσόμενοι, καὶ πεζοὶ τοῖς Ἀθηναίοις εἰσὶ καὶ νῆες, καὶ ἡ ὑπόλοιπος πό-

bus coniunctam, aliorum robore, quod ſecunda fortuna uitur, potentiorem eſſe.

LXIV. *Rurſus illis de vobis, qui ſunt Athenienſes, haec in memoriam redigo, neque naves alias his ſimiles in navalibus, neque militum iuventutem a vobis domi relictam eſſe. Et, ſi quid aliud, quam victoria, vobis contingat, & hoſtes, qui hic ſunt, protinus illuc navigaturos, & qui de nobis illic ſunt reliqui, nequaquam ſatis virium habituros ad propulſandos & eos, qui illic iam ſunt, & eos, qui praeterea hinc adverſus ipſos venient. Et vos quidem, qui hic eſtis, in Syracuſanorum poteſtatem confeſtim venietis, contra quos qua mente veneritis, vos ipſi probe noſtis: qui vero illic ſunt, in Lacedaemoniorum poteſtatem venient. Quare cum in hoc uno certamine pro utriſque, tam pro vobis ipſis, quam pro ceteris, qui ſunt domi, conſtituti ſitis, fortiter, ſi unquam alias, hoſti reſiſtite, & ſinguli & univerſi vobiſcum reputate, ex vobis, qui naves mox conſcendetis, Athenien-*

λις, καὶ τὸ μέγα ὄνομα τῶν Ἀθηνῶν· περὶ ὧν εἴτις τι ἕτερος ἑτέρου προφέρει ἢ ἐπιστήμη, ἢ εὐψυχίᾳ, οὐκ ἂν ἐν ἄλλῳ μᾶλλον καιρῷ ἀποδειξάμενος, αὐτός τε αὑτῷ ὠφέλιμος γένοιτο, καὶ τοῖς ξύμπασι σωτήριος.

ξε'. Ὁ μὲν Νικίας, τοσαῦτα παρακελευσάμενος, εὐθὺς ἐκέλευε πληροῦν τὰς ναῦς. τῷ δὲ Γυλίππῳ καὶ τοῖς Συρακουσίοις παρῆν μὲν αἰσθάνεσθαι, ὁρῶσι καὶ αὐτὴν τὴν παρασκευήν, ὅτι ναυμαχήσουσιν οἱ Ἀθηναῖοι· προηγγέλθη δὲ αὐτοῖς καὶ ἡ ἐπιβουλὴ τῶν σιδηρῶν χειρῶν. καὶ πρός τε τἆλλα ἐξηρτύσαντο ὡς ἕκαστα, καὶ πρὸς τοῦτο. τὰς γὰρ πρώρας καὶ τῆς νεὼς ἄνω ἐπὶ πολὺ κατεβύρσωσαν, ὅπως ἂν ἀπολισθάνοι καὶ μὴ ἔχοι ἀντιλαβὴν ἡ χεὶρ ἐπιβαλλομένη. καὶ ἐπειδὴ πάντα

ſium omnem peditatum, & claſſem, & urbem, & reliquam civitatem, & magnum illud Athenarum nomen omnino pendere. Pro quibus, ſi qua in re alius alii praeſtat, vel ſcientia vel animi praeſtantia, is nunquam alias opportunius ſeſe oſtentaverit, quo & ſibi ipſi utilis fuerit, & univerſis ſalutaris.

LXV. Nicias igitur his ſuos adhortatus, ſtatim imperavit, ut naves conſcenderent. Gylippo autem & Syracuſanis, quippe quod ipſum etiam hoſtium apparatum cernerent, praeſentire quidem licebat, Athenienſes navale proelium inituros eſſe; ſed certiores facti ſunt etiam de ferreis manibus, quas navibus iniicere ſtatuerant. Et cum adverſus cetera omnia illorum inventa, tum etiam adverſus hoc, remedia excogitata praepararunt. Nam proras & ſuperiores navium partes coriis longe lateque contexerunt, ut manus iniecta laberetur, nec quidquam nanciſceretur, quod apprehenderet. Poſtquam autem omnia praeparata

ἕτοιμα ἦν, παρεκελεύσαντο ἐκείνοις οἵ τε στρατηγοὶ καὶ Γύλιππος, καὶ ἔλεξαν τοιάδε.

ξστ'. Ὅτι μὲν καλὰ τὰ προειργασμένα, καὶ ὑπὲρ καλῶν τῶν μελλόντων ὁ ἀγὼν ἔσται, ὦ Συρακούσιοι καὶ ξύμμαχοι, οἵ τε πολλοὶ δοκεῖτε ἡμῖν εἰδέναι (οὐδὲ γὰρ ἂν οὕτως αὐτῶν προθύμως ἀντελάβεσθε) καὶ εἴ τις μὴ ἐπὶ ὅσον δεῖ ἤσθηται, σημανοῦμεν. Ἀθηναίους γὰρ ἐς τὴν χώραν τήνδε ἐλθόντας, πρῶτον μὲν ἐπὶ τῆς Σικελίας καταδουλώσει, ἔπειτ', εἰ κατορθώσειαν, καὶ τῆς Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος, καὶ ἀρχὴν τὴν ἤδη μεγίστην τῶν τε πρὶν Ἑλλήνων καὶ τῶν νῦν κεκτημένους, πρῶτοι ἀνθρώπων ὑποστάντες τῷ ναυτικῷ, ὥπερ πάντα κατέσχον, τὰς μὲν νενικήκατε ναυμαχίας, τὴν δ' ἐκ τοῦ εἰκότος νῦν νικήσετε. ἄνδρες γὰρ ἐπειδὰν ὧ ἀξιοῦσι προὔχειν κολουσθῶσι, τόγ' ὑπόλοιπον αὐτῶν

fuerunt, duces eorum ac Gylippus eos adhortati sunt, & hanc orationem apud eos habuerunt.

LXVI. *Quod praeclarae sint res a nobis ante gestae, quodque de praeclaris rebus mox etiam certamen nobis sit futurum, Syracusani & socii, plerique nobis cognoscere videmini: (nec enim tanto studio res illas gerendas suscepissetis) si quis tamen, quantum satis est, non cognoscit, nos hoc ipsi declarabimus. Athenienses enim, qui in hanc regionem venerunt, primum quidem ut Siciliam subigerent, deinde vero, si rem feliciter gessissent, ut Peloponnesum etiam ceteramque Graeciam, & qui omnium tam superioris quam nostrae memoriae Graecorum imperium iam pridem maximum obtinent, vos mortalium primi sustinuistis classe, (qua illi cuncta obtinuerunt) & cum aliis navalibus proeliis iam superastis, tum etiam hoc, ut verisimile videtur, nunc vincetis. Homines enim, postquam eorum vires in ea re, qua se ceteris*

τῆς δόξης ἀσθενέστερον αὐτὸ ἑαυτοῦ ἐστιν, ἢ εἰ μὴ δ' ὠήθησαν τοπρῶτον· καὶ τῷ παρ' ἐλπίδα τοῦ αὐχήματος σφαλλόμενοι, καὶ παρὰ ἰσχὺν τῆς δυνάμεως ἐνδιδόασιν. ὃ νῦν Ἀθηναίους εἰκὸς πεπονθέναι.

ξζ'. Ἡμῶν δὲ, τό, τε ὑπάρχον πρότερον, ὥπερ καὶ ἀνεπιστήμονες ἔτι ὄντες ἀπετολμήσαμεν, βεβαιότερον νῦν, καὶ τῆς δοκήσεως προσγενομένης αὐτῷ, τὸ κρατίστους εἶναι, εἰ τοὺς κρατίστους ἐνικήσαμεν, διπλάσιός ἑκάστου ἡ ἐλπίς. τὰ δὲ πολλὰ, πρὸς τὰς ἐπιχειρήσεις ἡ μεγίστη ἐλπὶς μεγίστην καὶ τὴν προθυμίαν παρέχεται. τά τε τῆς ἀντιμιμήσεως αὐτῶν τῆς παρασκευῆς ἡμῶν, τῷ μὲν ἡμετέρῳ τρόπῳ ξυνήθη τέ ἐστι, καὶ οὐκ ἀνάρμοστοι πρὸς τὴν ἑκάστην αὐτῶν ἐσόμεθα. οἱ δ' ἐπειδὰν πολλοὶ μὲν ὁπλῖται ἐπὶ τῶν καταστρωμάτων παρὰ

praeſtare putant, fractae fuerint, multo minorem in poſterum de ſe ipſis opinionem concipiunt, quam ſi nunquam antea quidquam de ſe tale ſenſiſſent: & opinione ſua, propter quam animos elatos habebant, praeter ſpem fruſtrati, etiam infra vires virtute ſuccumbunt. Id quod Athenienſibus nunc accidiſſe credibile eſt.

LXVII. *Quod vero ad nos attinet, tum quia priſtina noſtra virtus (qua, licet rerum nauticarum adhuc eſſemus imperiti, belli fortunam tentavimus) nunc validior eſt, tum quia ſummae virtutis opinio iam ad eam acceſſit, quod viros fortiſſimos vicerimus, ſpes uniuſcuiuſque noſtrûm duplo maior eſſe debet. Plerumque autem, maxima ſpes maximam etiam animorum alacritatem addit, ad res impigre ſubeundas. Quod autem hoſtes noſtrum apparatum aemulentur, haec ratio noſtrae quidem conſuetudini familiaris eſt, nec imparati adverſus ſingulas illorum naves erimus. Illi vero, poſtquam multi quidem gravis armaturae milites praeter ipſorum inſtitutum ſupra tabulata ſteterint, multi*

τὸ καθεστηκὸς ὦσι, πολλοὶ δὲ ἀκοντισταὶ χερσαῖοι, ὡς εἰπεῖν, Ἀκαρνᾶνές τε καὶ ἄλλοι ἐπὶ ναῦς ἀναβάντες, οἳ οὐδ' ὅπως καθεζομένους χρὴ τὸ βέλος ἀφεῖναι εὑρήσουσι, πῶς οὐ σφαλοῦσί τε τὰς ναῦς, καὶ ἐν σφίσιν αὐτοῖς πάντες, οὐκ ἐν τῷ αὐτῶν τρόπῳ κινούμενοι, ταράξονται; ἐπεὶ καὶ τῷ πλήθει τῶν νεῶν οὐκ ὠφελήσονται· εἴτις καὶ τόδε ὑμῶν, ὅτι οὐκ ἴσαις ναυμαχήσει, πεφόβηται. ἐν ὀλίγῳ γὰρ πολλαὶ, ἀργότεραι μὲν ἐς τὸ δρᾶν τι ὧν βούλονται ἔσονται, ῥᾷσται δὲ ἐς τὸ βλάπτεσθαι ἀφ' ὧν ἡμῖν παρεσκεύασται. τὸ δ' ἀληθέστατον γνῶτε, ἐξ ὧν ἡμεῖς οἰόμεθα σαφῶς πεπύσθαι. ὑπερβαλλόντων γὰρ αὐτοῖς τῶν κακῶν, καὶ βιαζόμενοι ὑπὸ τῆς παρούσης ἀπορίας, ἐς ἀπόνοιαν καθεστήκασιν, οὐ παρασκευῆς πίστει μᾶλλον, ἢ τύχης ἀποκινδυνεύσει οὕτως ὅπως δύνανται· ἵν' ἢ βιασάμενοι ἐκπλεύσωσιν, ἢ

etiam terreſtres iaculatores, ut ita loquar, & Acarnanes & alii, qui naves conſcenderint, qui ne ſedentes quidem rationem invenient, qua telum emittere poſſint, qui fieri poterit, ut ipſas naves in periculum non coniiciant, & omnes inter ſe ipſos perturbationem non excitent, dum non ſuo more ſeſe movebunt? Siquidem ne multitudo quidem navium ipſis proderit: ſi quis veſtrûm hoc etiam fortaſſe formidat, quod non cum pari, ſed longe maiori navium numero ſit pugnaturus. Nam in exiguo loci ſpatio multae naves erunt tardiores ad exſequendum ea, quae gubernatores volunt; opportuniſſimae autem machinamentis, quae praeparavimus ad eas profligandas. Quod autem veriſſimum eſt, cognoſcite ex iis, quae nos certo intellexiſſe arbitramur. Nam iſti malorum magnitudine fracti, & praeſentibus difficultatibus ſuperati, ad deſperationem ſunt redacti, non apparatu copiiſque ſuis freti potius, quam temeritate fortunae, quam, quoquo modo

κατὰ γῆν μετὰ τοῦτο τὴν ἀποχώρησιν ποιῶνται, ὡς τῶν γε παρόντων οὐκ ἂν πράξοντες χεῖρον.

ξή. Πρὸς οὖν ἀταξίαν τε τοιαύτην, καὶ τύχην ἀνδρῶν ἑαυτὴν παραδεδωκυῖαν πολεμιωτάτων, ὀργῇ προσμίξωμεν· καὶ νομίσωμεν, ἅμα μὲν νομιμώτατον εἶναι πρὸς τοὺς ἐναντίους, οἳ ἂν ὡς ἐπὶ τιμωρίᾳ τοῦ προσπεσόντος δικαιώσωσιν, ἀποπλῆσαι τῆς γνώμης τὸ θυμούμενον, ἅμα δὲ ἐχθροὺς ἀμύνασθαι ἐγγενησόμενον ἡμῖν, καὶ τὸ λεγόμενόν που ἥδιστον εἶναι. ὡς δὲ ἐχθροὶ καὶ ἔχθιστοι, πάντες ἴστε, οἵγε ἐπὶ τὴν ἡμετέραν ἦλθον δουλωσόμενοι. ἐν ᾧ εἰ κατώρθωσαν, ἀνδράσι μὲν ἂν τὰ ἄλγιστα προσέθεσαν, παισὶ δὲ καὶ γυναιξὶ τὰ ἀπρεπέστατα, πόλει δὲ τῇ πάσῃ τὴν αἰσχίστην ἐπίκλησιν. ἀνθ' ὧν μὴ μαλακισθῆναι τινὰ πρέπει, μηδὲ τὸ ἀκινδύνως ἀπελθεῖν αὐ-

possunt, periclitari volunt, ut vel per vim navibus elabantur, vel poslea, itinere terrestri aliquo se recipiant, quippe qui peiore conditione nunquam sint futuri, quam nunc sunt.

LXVIII. *Adversus igitur talem confusionem, & infestissimorum hominum fortunam, quae se ipsam nobis tradidit, iratis animis contendentes pugnam conseramus: & existimemus simul quidem aequissimum esse, adversariorum supplicüs iracundiam animi saturare, qui dicere audent, se iusta de causa huc venisse, ut nos suos hostes ulciscerentur, simul etiam in nobis & penes nos futurum inimicos propulsare, & id, quod vulgo dicitur, suavissimum esse, inimicos ulcisci. Quod autem isti sint nobis inimici, atque adeo inimicissimi, omnes hoc probe nostis, qui in nostram regionem nos in servitutem redacturi venerunt. Quam rem si feliciter gessissent, viros quidem acerbissimis cruciatibus, ac liberos & uxores summa turpitudine affecissent, & universae reipublicae turpissimum servitutis cognomentum imposuissent. Quare neminem*

τοὺς, κέρδος νομίσαι. τοῦτο μὲν γὰρ, καὶ ἐὰν κρατήσωσιν, ὁμοίως δράσουσι. τὸ δὲ, πραξάντων ἐκ τοῦ εἰκότος ἃ βουλόμεθα, τούσδε τε κολασθῆναι, καὶ τῇ πάσῃ Σικελίᾳ, καρπουμένῃ καὶ πρὶν, ἐλευθερίαν βεβαιοτέραν παραδοῦναι, καλὸς ὁ ἀγών. καὶ κινδύνων οὗτοι σπανιώτατοι, οἱ ἂν ἐλάχιστα ἐκ τοῦ σφαλῆναι βλάπτοντες, πλεῖστα διὰ τὸ εὐτυχῆσαι ὠφελοῦσι.

ξθ'. Καὶ οἱ μὲν τῶν Συρακουσίων στρατηγοὶ καὶ Γύλιππος, τοιαῦτα καὶ αὐτοὶ τοῖς σφετέροις στρατιώταις παρακελευσάμενοι, ἀντεπλήρουν τὰς ναῦς εὐθὺς, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους ᾐσθάνοντο. ὁ δὲ Νικίας, ὑπὸ τῶν παρόντων ἐκπεπληγμένος, καὶ ἑρῶν οἷος ὁ κίνδυνος, καὶ ὡς ἐγγὺς ἤδη ἦν, ἐπειδὴ καὶ ὁσοιοὺκ ἔμελλον ἀνάγεσθαι, καὶ νομίσας, ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις

de nobis rem molliter gerere decet, neque pro lucro ducere, quod illi ſine noſtro periculo abeant. Nam parta etiam victoria hoc ipſum ſunt facturi. Illud etiam praeclarum certamen, ſi faciamus ea, quae facere debemus & volumus, ut videlicet & iſtos puniamus, & univerſae Siciliae firmiorem libertatem reſtituamus, qua prius etiam fruebatur. Atque ea pericula ſunt rariſſima, & maxime expetenda, quae, ſi offendas, minimum damnum; ſi rem feliciter geras, maximas utilitates afferunt.

LXIX. Atque Syracuſanorum quidem duces & Gylippus, his verbis & ipſi ſuos milites adhortati, viciſſim ſuas naves ſtatim militibus implere coeperunt, poſtquam animadverterunt, & ipſos Athenienſes idem facere. Nicias vero propter praeſentem rerum ſtatum animo perculſus, & animadvertens, quantum periculum, & quam vicinum iam eſſet, quod tantum non iam obviam hoſti eſſent proceſſuri, & exiſtimans, quod hominibus in maximis proeliis ac-

ἀγῶσι, πάντα τε ἔργῳ ἔτι σοφίσιν εἰδυῖα εἶναι, καὶ λέγω αὐτοῖς οὔπω ἱκανὰ εἰρῆσθαι, αὖθις τῶν τριηράρχων ἕνα ἕκαστον ἀνεκάλει, πατρόθεν τε ἐπονομάζων, καὶ αὐτοὺς ὀνομαστὶ καὶ φυλήν· ἀξιῶν τό, τε καθ' ἑαυτὸν, ᾧ ὑπῆρχε λαμπρότητός τι, μὴ προδιδόναι τινὰ, καὶ τὰς πατρικὰς ἀρετὰς, ὧν ἐπαινεῖς ἦσαν οἱ πρόγονοι, μὴ ἀφανίζειν· πατρίδος τε τῆς ἐλευθερωτάτης ὑπομιμνήσκων, καὶ τῆς ἐν αὐτῇ ἀνεπιτάκτου πᾶσιν ἐς τὴν βίαιταν ἐξουσίας· ἄλλα τε λέγων ὅσα ἐν τῷ τοιούτῳ ἤδη τοῦ καιροῦ ὄντες ἄνθρωποι, οὐ πρὸς τὸ δοκεῖν τινι ἀρχαιολογεῖν φυλαξάμενοι εἴποιεν ἄν, καὶ ὑπὲρ ἁπάντων παραπλήσια, ἔς τε γυναῖκας καὶ παῖδας καὶ θεοὺς πατρῴους προφερόμενα, ἀλλ' ἐπὶ τῇ παρούσῃ ἐκπλήξει ὠφέλιμα νομίζοντες ἐπιβοῶνται. καὶ ὁ μὲν, οὐχ ἱκανὰ μᾶλ-

cidere ſolet, ſuis omnibus in rebus aliquid adhuc deeſſe, quod a ſe nondum praeparatum eſſet, necdum oratione ſatis ampla cum ipſis militibus a ſe actum eſſe, rurſus unumquemque trierarchorum vocabat, ſingulos & patrum & tribuum & propriis nominibus appellans. Et orabat unumquemque, in quo aliquid ſplendoris inerat, ne ſe ipſum proderet; neve illi, quorum maiores illuſtres eſſent, paternas virtutes delerent. Eoſdem etiam admonebat patriae, quae liberrima eſſet, & in qua unicuique arbitratu ſuo citra praeſcriptum ac imperium alterius vitam inſtituere liceret. Alia praeterea commemorabat, quaecunque homines, in huiuſmodi temporis articulo iam conſtituti, reſervare ac dicere ſolent, non ut alicui res priſcas effutire videantur, & quaecunque alia his ſimilia de univerſis, ut & de uxoribus, & de liberis, & de Diis patriis proferri conſueverunt, ſed quae in praeſenti pavore utilia dictu

πίπτοιεν τοῖς Ἀθηναίοις, καὶ ὁ πεζὸς αὐτοῖς ἅμα παραβοηθῇ ἧπερ καὶ αἱ νῆες κατίσχοιεν. ἦρχον δὲ τοῦ ναυτικοῦ τοῖς Συρακουσίοις, Σικανὸς μὲν καὶ Ἀγάθαρχος, κέρας ἑκάτερος τοῦ παντὸς ἔχων, Πυθὴν δὲ καὶ οἱ Κορίνθιοι τὸ μέσον. ἐπειδὴ δ' οἱ Ἀθηναῖοι προσέμισγον τῷ ζεύγματι, τῇ μὲν πρώτῃ ῥύμῃ ἐπιπλέοντες ἐκράτουν τῶν τεταγμένων νεῶν πρὸς αὐτῷ, καὶ ἐπειρῶντο λύειν τὰς κλῆσεις. μετὰ δὲ τοῦτο, πανταχόθεν σφίσι τῶν Συρακουσίων καὶ ξυμμάχων ἐπιφερομένων, οὐ πρὸς τῷ ζεύγματι ἔτι μόνον ἡ ναυμαχία, ἀλλὰ καὶ κατὰ τὸν λιμένα ἐγίγνετο· καὶ ἦν καρτερὰ, καὶ οἵα οὐχ ἑτέρα τῶν πρότερον. πολλὴ μὲν γὰρ ἑκατέροις προθυμία ἀπὸ τῶν ναυτῶν ἐς τὸ ἐπιπλεῖν ὁπότε κελευσθείη ἐγίγνετο, πολλὴ δὲ ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισμὸς

simul impreſſionem in Athenienſes facerent, & peditatus ſimul ipſis ſubſidio veniret, ad quamcunque partem & ipſae naves appuliſſent. Praeerant autem claſſi apud Syracuſanos, Sicanus & Agatharchus, uterque unum totius cornu tenens; Pythen vero & Corinthii medium. Poſtquam autem Athenienſes ad pontem acceſſerunt, primo quidem impetu naves ad ipſum praeſidii cauſa collocatas impreſſione facta ſuperarunt, & portus claſtra ſolvere conabantur. Poſtea vero, cum Syracuſani ſociique in ipſos undique inveherentur, non amplius ad pontem tantum, ſed etiam in ipſo portu proelium fiebat. Erat autem atrox, & quale nullum ſuperiorum fuerat. Magnam enim animorum alacritatem adhibebant utriuſque claſſis nautae ad impetum faciendum, quotieſcunque iuſſi fuiſſent: multa quoque certatim gubernatores ad artem ſuam pertinentia alii contra alios excogitabant. Et milites, qui navibus vehe-

πρὸς ἀλλήλους. οἵ τε ἐπιβάται ἐθεράπευον, ὅτε προσπέσοι ναῦς νηΐ, μὴ λείπεσθαι τὰ ἀπὸ τοῦ καταστρώματος τῆς ἄλλης τέχνης. πᾶς τέ τις, ἐν ᾧ προσετέτακτο, αὐτὸς ἕκαστος ἠπείγετο πρῶτος φαίνεσθαι. ξυμπεσουσῶν δὲ ἐν ὀλίγῳ πολλῶν νεῶν, (πλεῖσται γὰρ δὴ αὗται ἐν ἐλαχίστῳ ἐναυμάχησαν. βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι) αἱ μὲν ἐμβολαὶ, διὰ τὸ μὴ εἶναι τὰς ἀναχρούσεις καὶ διέκπλους, ἐλίγαι ἐγίγνοντο, αἱ δὲ προσβολαὶ, ὡς τύχοι ναῦς νηὶ προσπεσοῦσα, ἢ διὰ τὸ φεύγειν, ἢ ἄλλῃ ἐπιπλέουσα, πυκνότεραι ἦσαν. καὶ ὅσον μὲν χρόνον προσφέρετο ναῦς, οἱ ἀπὸ τῶν καταστρωμάτων τοῖς ἀκοντίοις καὶ τοξεύμασι καὶ λίθοις ἀφθόνως ἐπ' αὐτὴν ἐχρῶντο· ἐπειδὴ δὲ προσμίξειαν, οἱ ἐπιβαται εἰς χεῖρας ἰόντες ἐπειρῶντο

bantur, quoties navis impreſſionem in navem feciſſet, operam dabant, ne ipſi, qui ex tabulatis pugnabant, cetero artificio, ceteriſque nautis & gubernatoribus inferiores eſſent. Et unuſquiſque in munere ſibi aſſignato primus apparere conabatur. Quod autem in exiguo loci ſpatio multae naves confligerent, (nam hae naves, quarum maximus erat numerus, in anguſtiſſimo ſpatio tunc pugnarunt. parum enim aberat, quin univerſae naves utriuſque claſſis ducentas efficerent.) incurſiones quidem paucae fiebant, quia vel retrocedendi vel perrumpendi nulla facultas dabatur: concurſus vero frequentiores erant, prout quaeque navis in navem incidiſſet, vel dum fugeret, vel dum impreſſionem in aliam faceret. Et quamdiu quidem navis aliam invadebat, tamdiu qui ex tabulatis pugnabant, abunde iaculis & ſagittis & lapidibus adverſus eam utebantur. Cum autem naves iam confligerent, earum propugnato-

ταῖς ἀλλήλων ναυσὶν ἐπιβαίνειν. ξυνετύγχανέ τε πολλαχοῦ, διὰ τὴν στενοχωρίαν, τὰ μὲν, ἄλλοις ἐμβεβλημένας, τὰ δὲ, αὐτοὺς ἐμβεβλῆσθαι, δύο τε περὶ μίαν καὶ ἔστιν ἡ καὶ πλείους ναῦς κατ' ἀνάγκην ξυνηρτῆσθαι· καὶ τοῖς κυβερνήταις τῶν μὲν φυλακὴν, τῶν δ' ἐπιβουλὴν, μὴ καθ' ἓν ἕκαστον, κατὰ πολλὰ δὲ πανταχόθεν περιεστάναι. καὶ τὸν κτύπον μέγαν ἀπὸ πολλῶν [τῶν] νεῶν ξυμπιπτουσῶν, ἔκπληξίν τε ἅμα καὶ ἀποστέρησιν τῆς ἀκοῆς ὧν οἱ κελευσταὶ φθέγγοιντο παρέχειν. πολλὴ γὰρ δὴ παρακέλευσις καὶ βοὴ ἀφ' ἑκατέρων τοῖς κελευσταῖς, κατὰ τὴν τέχνην, καὶ πρὸς τὴν αὐτίκα φιλονεικίαν, ἐγίγνετο· τοῖς μὲν Ἀθηναίοις βιάζεσθαί τε τὸν ἔκπλουν ἐπιβοῶντες, καὶ περὶ τῆς ἐς τὴν πατρίδα σωτηρίας νῦν, εἴποτε καὶ αὖθις, προθύμως ἀντιλαβέ-

res, qui manus conſerebant, utrinque in alienas naves ingredi conabantur. Multis autem in partibus contigit, ut propter loci anguſtias, partim quidem iſti impreſſionem in illos facerent, partim vero illi in iſtos incurrerent, & duae, quin etiam alicubi plures naves, uni neceſſario adhaereſcerent. Contigit etiam, ut gubernatores, has quidem vitandi, illas vero per inſidias invadendi, non ſigillatim, ſed variis in partibus undique cura circumſiſteret: utque ſtrepitus ingens, qui a multis navibus concurrentibus edebatur, ſimul & pavorem afferret, & auditum adimeret eorum, quae ab hortatoribus praecipiebantur. Multa enim hortatorum adhortatio utrinque audiebatur, ex arte, & propter praeſens vincendi ſtudium: Athenienſium quidem, ut ſui per vim eruptionem facerent, exclamantium, utque nunc, ſi unquam alias, alacriter ſuam ſalutem conſervantes in patriam redire conarentur; Syracuſanorum

σθαι· τοῖς δὲ Συρακουσίοις καὶ ξυμμάχοις, καλὸν εἶναι κωλῦσαί τε αὐτοὺς διαφυγεῖν, καὶ τὴν οἰκείαν ἑκάστους πατρίδα νικήσαντας ἐπαυξῆσαι. καὶ οἱ στρατηγοὶ προσέτι ἑκατέρων, εἴτινά που ὁρῷεν μὴ κατ' ἀνάγκην πρύμναν κρουόμενον, ἀναβοῶντες ὀνομαστὶ τὸν τριήραρχον, ἠρώτων, οἱ μὲν Ἀθηναῖοι, εἰ τὴν πολεμιωτάτην γῆν, οἰκειοτέραν ἤδη τῆς οὐ δι' ὀλίγου κεκτημένης θαλάσσης ἡγούμενοι, ἀποχωροῦσιν· οἱ δὲ Συρακούσιοι, εἰ οὓς σαφῶς ἴσασι προθυμουμένους Ἀθηναίους παντὶ τρόπῳ διαφυγεῖν, τούτους αὐτοὶ φεύγοντας φεύγουσιν.

οα'. Ὁ, τε ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων, ἰσορρόπου τῆς ναυμαχίας καθεστηκυίας, πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε, φιλονεικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ πλείονος ἤδη καλοῦ, δεδιότες δὲ οἱ ἐπελθόντες,

vero & ſociorum, exclamantium, praeclarum eſſe illorum fugam impedire, partaque victoria ſuam quemque patriam gloria augere. Praeterea utriuſque claſſis duces, ſicubi aliquem animadverteſſent cum ſua navi ceſſim ire, accitum nominatim eius trierarchum percontabantur: Athenienſes quidem, num iſti retrocederent, quod infenſiſſimorum hoſtium agrum, ipſo mari, cuius imperium non exiguo obtinuiſſent, iam amiciorem putarent; Syracuſani vero, num quos Athenienſes plane ſcirent vehementer cupere quavis ratione effugere, hos fugientes ipſi fugerent.

LXXI. Dum autem navale proelium ab illis ancipiti Marte committeretur, utrorumque peditatus, qui in terra erat, magnum animi certamen ſuſtinebat, & rei eventum admodum attente exſpectabat. Ac Syracuſanus quidem, quod iam pro maiore gloria ſibi comparanda contenderet: Athenienſes vero, qui Syracuſanos invaſerant, quod me-

μὴ τῶν παρόντων ἔτι χείρω πράξωσι. πάντων γὰρ δὴ ἀνακειμένων τοῖς Ἀθηναίοις ἐς τὰς ναῦς, ὅ, τε φόβος ἦν ὑπὲρ τοῦ μέλλοντος οὐδενὶ ἐοικὼς, καὶ διὰ τὸ, ἀνώμαλον καὶ τὴν ἔποψιν τῆς ναυμαχίας ἐκ τῆς γῆς ἠναγκάζοντο ἔχειν. δι' ὀλίγου γὰρ οὔσης τῆς θέας, καὶ οὐ πάντων ἅμα ἐς τὸ αὐτὸ σκοπούντων, εἰ μέν τινες ἴδοιέν πη τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησάν τε ἂν, καὶ πρὸς ἀνάκλησιν θεῶν, μὴ στερῆσαι σφᾶς τῆς σωτηρίας, ἐτρέποντο· οἱ δ', ἐπὶ τὸ ἡσσώμενον βλέψαντες, ὀλοφυρμῷ τε ἅμα μετὰ βοῆς ἐχρῶντο, καὶ ἀπὸ τῶν δρωμένων τῆς ὄψεως καὶ τὴν γνώμην μᾶλλον τῶν ἐν τῷ ἔργῳ ἐδουλοῦντο. ἄλλοι δὲ καὶ πρὸς ἀντίπαλόν τι τῆς ναυμαχίας ἀπιδόντες, διὰ τὸ ἀκρίτως ξυνεχὲς τῆς ἀμιλ-

tuerent, ne in fortunam praeſenti longe deteriorem delaberentur. Athenienſes enim, quod omnes ſuas fortunas in navibus poſuiſſent, de futuro adeo timebant, ut nullus alius maiore metu percelli poſſet; atque hac ipſa de cauſa navale proelium inaequaliter ac impari conditione ex terra utrique ſpectare cogebantur. Nam cum ſpectaculum eſſet e propinquo, nec omnes pariter eodem ſpectarent, ſi qui ſuos alicubi vincentes aſpexiſſent, ſe ipſos colligebant, & ad implorandam Deorum fidem ſe convertebant, ne ſe ſalute fraudarent: alii vero, qui ſuos vinci vidiſſent, planctu ſimul & vociferatione utebantur; & ex iis, quae fieri cernebant, animis etiam multo magis frangebantur, quam qui in ipſo proelio verſabantur. Quin etiam alii, ubi oculos in aliquam partem convertiſſent, in qua ancipiti Marte pugnaretur, (propter permixti confuſique certaminis continuationem) ipſis etiam corporibus, prout animo erant

λης, καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ περιδεῶς ξυναπονεύοντες, ἐν τοῖς χαλεπώτατα διῆγον. ἀεὶ γὰρ παρ' ὀλίγον ἢ διέφευγον, ἢ ἀπώλλυντο. ἦν τε ἐν τῷ αὐτῷ στρατεύματι τῶν Ἀθηναίων, ἕως ἀγχώμαλα ἐναυμάχουν, πάντα ὁμοῦ ἀκοῦσαι, ὀλοφυρμὸς, βοὴ, νικῶντες, κρατούμενοι· ἄλλα ὅσα ἐν μεγάλῳ κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι. παραπλήσια δὲ καὶ οἱ ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον· πρίν γε δὴ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, ἐπιπολὺ ἀντισχούσης τῆς ναυμαχίας, ἔτρεψάν τε τοὺς Ἀθηναίους, καὶ ἐπιχείμενοι λαμπρῶς, πολλῇ κραυγῇ καὶ διακελευσμῷ χρώμενοι, κατεδίωκον ἐς τὴν γῆν. τότε δὴ ὁ μὲν ναυτικὸς στρατὸς, ἄλλος ἄλλῃ, ὅσοι μὴ μετέωροι ἐάλωσαν, κατενεχθέντες ἐξέπεσον ἐς τὸ στρατόπεδον, ὁ δὲ πεζὸς, οὐκέτι

affecti, cum vehementi metu simul nutantes, in maxima animi anxietate versabantur. Semper enim parum aberat, quin evaderent, aut perirent. In eodem autem Atheniensium exercitu, quamdiu classe aequo Marte pugnarunt, licebat haec omnia simul audire, lamenta, clamores, vincentes, victos, & alia, quaecunque magnus exercitus in magno discrimine positus multifariam proferre cogitur. Illorum etiam militibus, qui in navibus erant, idem, quod his, accidebat: donec tandem Syracusani sociique (cum navale proelium ad multum diem utrinque pertinaciter commissum fuisset) Athenienses in fugam verterunt; & minime dubie fugientibus instantes, magno clamore & cohortatione utentes, terram versus eos persequi coeperunt. Tunc vero nauticus quidem exercitus, alius alio, quotquot in alto capti non fuerant, in terram delati, in sua castra evaserunt. Peditatus vero, non amplius diversam

διαφόρως, ἀλλ' ἀπὸ μιᾶς ὁρμῆς, οἰμωγῇ τε καὶ στόνῳ πάντες δυσανασχετοῦντες τὰ γιγνόμενα, οἱ μὲν ἐπὶ τὰς ναῦς παρεβοήθουν, οἱ δὲ, πρὸς τὸ λοιπὸν τοῦ τείχους, ἐς φυλακήν· ἄλλοι δὲ οἱ πλεῖστοι ἤδη περὶ σφᾶς αὐτοὺς καὶ ὅπη σωθήσονται διεσκόπουν· ἦν τε ἐν τῷ παραυτίκα οὐδὲ μιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις. παραπλήσιά τε ἐπεπόνθεσαν καὶ ἔδρασαν αὐτοὶ ἐν Πύλῳ. διαφθαρεισῶν γὰρ τῶν νεῶν τοῖς Λακεδαιμονίοις, προσαπώλλυντο αὐταῖς καὶ οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες· καὶ τότε τοῖς Ἀθηναίοις ἀνέλπιστον ἦν τὸ κατὰ γῆν σωθήσεσθαι, ἢν μή τι παράλογον γίγνηται.

οβ'. Γενομένης δ' ἰσχυρᾶς τῆς ναυμαχίας, καὶ πολλῶν νεῶν ἀμφοτέροις καὶ ἀνθρώπων ἀπολομένων, οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι ἐπικρατήσαντες, τά τε

rationem ſequens, ita ut alii hoc, alii illud facerent, ſed univerſi uno impetu cum ploratu gemituque graviter ac indigne ferentes ea, quae fiebant, partim quidem ad opem navibus ferendam accurrebant, partim vero ad reliquam munitionum partem, ut eam tutarentur. Alii vero (quae maxima erat portio) ſe ipſos iam circumſpiciebant, & qua ſibi ſalutem parerent: & tunc in Athenienſium caſtris tantus exſtitit pavor, ut nullus ex ſuperioribus hoc maior exſtiterit. Et cladem illi ſimilem hic acceperunt, quam ipſi Lacedaemoniis ad Pylum attulerunt. Cum enim Lacedaemoniorum claſſis illic profligata fuiſſet, praeterea ipſorum quoque cives, qui in inſulam traiecerant, in ea plerique perierunt. Quamobrem Athenienſes itinere terreſtri (niſi quid inopinatum accideret) ſe ſervatum iri deſperabant.

LXXII. Poſt proelium autem navale, quod acerrime commiſſum fuit, in quo multae naves multique morta-

ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο· καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν, τροπαῖον ἔστησαν. οἱ δ' Ἀθηναῖοι, ὑπὸ μεγέθους τῶν παρόντων κακῶν, νεκρῶν μὲν πέρι ἢ ναυαγίων οὐδὲ ἐπενόουν αἰτῆσαι ἀναίρεσιν, τῆς δὲ νυκτὸς ἐβουλεύοντο εὐθὺς ἀναχωρεῖν. Δημοσθένης δὲ Νικίᾳ προσελθὼν, γνώμην ἐποιεῖτο, πληρώσαντας ἔτι τὰς λοιπὰς τῶν νεῶν, βιάσασθαι ἢν δύνωνται ἅμα ἕῳ τὸν ἔκπλουν· λέγων ὅτι πλείους ἔτι αἱ λοιπαί εἰσι νῆες χρήσιμαι σφίσιν ἢ τοῖς πολεμίοις (ἦσαν γὰρ τοῖς μὲν Ἀθηναίοις περίλοιποι ὡς ἑξήκοντα, τοῖς δ' ἐναντίοις ἐλάσσους ἢ πεντήκοντα) καὶ ξυγχωρεῦντος Νικίου τῇ γνώμῃ, καὶ βουλομένων πληροῦν αὐτὰς, οἱ ναῦται οὐκ ἤθελον ἐσβαίνειν, διὰ τὸ καταπεπλῆχθαι τῇ ἥσσῃ, καὶ μὴ ἂν ἔτι οἴεσθαι κρατῆσαι. καὶ οἱ μὲν ὡς κατὰ

les perierunt, Syracuſani ſociique victoriam adepti, navium fractarum tabulas ac reliquias & caeſorum corpora ſuſtulerunt, & in urbem reverſi tropaeum ſtatuerunt. Athenienſes vero prae magnitudine praeſentium malorum, ne cogitarunt quidem de ſuorum cadaveribus naviumque fragmentis repetendis ac recipiendis, ſed de noctu protinus abeundo conſultabant. Demoſthenes autem, cum Niciam adiſſet, cenſebat, reliquas naves iterum inſtruendas, & ſub auroram, ſi poſſent, eruptionem tentandam. Dicebat enim, plures adhuc naves ad navigationem idoneas ſibi ſupereſſe, quam hoſtibus. Athenienſibus enim, naves circiter ſexaginta ſupererant; hoſtibus vero, pauciores quam quinquaginta. Cum autem Nicias ei aſſentiretur, & naves implere vellent, nautae illas conſcendere nolebant, quod adverſo proelio perterriti eſſent, nec amplius ſe ſuperiores fore ſperarent. Atque hi quidem univerſi

γῆν ἀναχωρήσοντες ἤδη ξύμπαντες τὴν γνώμην εἶχον.

ογ'. Ἑρμοκράτης δὲ ὁ Συρακούσιος, ὑπονοήσας αὐτῶν τὴν διάνοιαν, καὶ νομίσας δεινὸν εἶναι εἰ τοσαύτη στρατιὰ κατὰ γῆν ἀποχωρήσασα, καὶ καθεζομένη ποι τῆς Σικελίας, βουλήσεται αὖθις σφίσι τὸν πόλεμον ποιεῖσθαι, ἐφηγεῖται ἐλθὼν τοῖς ἐν τέλει οὖσιν ὡς οὐ χρεὼν ἀποχωρῆσαι τῆς νυκτὸς αὐτοὺς περιϊδεῖν, (λέγων ταῦτα ἃ καὶ αὐτῷ ἐδόκει) ἀλλὰ ἐξελθόντας ἤδη πάντας Συρακουσίους καὶ τοὺς ξυμμάχους τάς τε ὁδοὺς ἀποικοδομῆσαι, καὶ τὰ στενόπορα τῶν χωρίων προφθάσαντας φυλάσσειν. οἱ δὲ, ξυνεγίγνωσκον μὲν καὶ αὐτοὶ οὐχ ἧσσον ταῦτα ἐκείνου, καὶ ἐδόκει ποιητέα εἶναι· τοὺς δὲ ἀνθρώπους ἄρτι ἀσμένους ἀπὸ ναυμαχίας τε μεγάλης ἀναπεπαυμένους, καὶ ἅμα ἑορτῆς οὔσης (ἔτυχε γὰρ αὐτοῖς Ἡράκλεια ταύτην τὴν ἡμέραν θυσία οὖσα)

iam itinere terreſtri ſe aliquo recipere in animo habebant.

LXXIII. Sed Hermocrates Syracuſanus ſuſpicatus, quid illi in animo haberent, & ratus atrocem rem fore, ſi tantus exercitus itinere terreſtri ſeſe illinc reciperet, & in aliqua Siciliae parte ſubſideret, unde rurſus bellum ſibi facere vellet, magiſtratus adit, eoſque monet, hoſtibus per negligentiam minime permittendum eſſe, ut noctu abirent, (ſimul autem & haec, & alia, quae ipſi videbantur, dicebat) ſed omnibus Syracuſanis ſociiſque iam exeundum, & vias obſtruendas, & locorum anguſtias praeoccupandas atque cuſtodiendas. Illi vero & ipſi non minus, quam ille, idem ſentiebant, & haec facienda cenſebant: ſed [illegible]debant, ſe non putare, homines laetos, & ex navali eoque magno proelio recens reverſos & quieſcentes, praeterea quod dies feſtus eſſet, (forte enim tunc apud ipſos

οὐ δοκεῖν ἂν ῥᾳδίως ἐθελῆσαι ὑπακοῦσαι. ὑπὸ γὰρ τοῦ περιχαροῦς τῆς νίκης, πρὸς πόσιν τετράφθαι τοὺς πολλοὺς ἐν τῇ ἑορτῇ, καὶ πάντα μᾶλλον ἐλπίζειν ἂν σφῶν πείθεσθαι αὐτοὺς, ἢ ὅπλα λαβόντας ἐν τῷ παρόντι ἐξελθεῖν. ὡς δὲ τοῖς ἄρχουσι ταῦτα λογιζομένοις ἐφαίνετο ἄπορα, καὶ οὐκ ἔπειθεν αὐτοὺς ὁ Ἑρμοκράτης, αὐτὸς ἐπὶ τούτοις τάδε μηχανᾶται· δεδιὼς μὴ οἱ Ἀθηναῖοι καθ' ἡσυχίαν προφθάσωσιν ἐν τῇ νυκτὶ διελθόντες τὰ χαλεπώτατα τῶν χωρίων, πέμπει τῶν ἑταίρων τινὰς τῶν ἑαυτοῦ μετὰ ἱππέων πρὸς τὸ τῶν Ἀθηναίων στρατόπεδον, ἡνίκα ξυνεσκόταζεν· οἱ προσπελάσαντες ἐξ ὅσου τις ἔμελλεν ἀκούσεσθαι, καὶ ἀνακαλεσάμενοι τινὰς, ὡς ὄντες τῶν Ἀθηναίων ἐπιτήδειοι (ἦσαν γάρ τινες τῷ Νικίᾳ διάγγελοι τῶν ἔνδοθεν) ἐκέλευον φράζειν Νικίᾳ μὴ ἀπάγειν τῆς νυκτὸς τὸ στράτευμα, ὡς Συρακουσίων

dies feſtus Herculis erat) imperata facile facturos. Nam prae ingenti victoriae gaudio, pleroſque per eum diem feſtum ſeſe ad potationem converſuros, & ſe exiſtimare, illos ſibi in quibuslibet aliis rebus obtemperaturos potius, quam in praeſentia ſumtis armis exituros. Sed cum magiſtratibus haec reputantibus difficilia factu eſſe viderentur, & Hermocrates haec ipſis perſuadere non poſſet, poſtea ipſe haec commentus eſt: veritus, ne Athenienſes nemine prohibente difficillima quaeque loca noctu prius tranſirent, nonnullos e ſuis ſodalibus cum equitibus, cum iam adveſperaſceret, ad Athenienſium caſtra mittit. Qui eo uſque provecti, unde quis exaudiri poſſet, & quibuſdam evocatis, quaſi Athenienſium eſſent amici, (erant enim nonnulli internuntii, qui Niciam de rebus urbanis certiorem faciebant) imperarunt, ut Niciae ſignificarent, ne ea

τὰς ὁδοὺς φυλασσόντων, ἀλλὰ καθ' ἡσυχίαν τῆς ἡμέρας παρασκευασάμενον ἀποχωρεῖν. καὶ οἱ μέν, εἰπόντες ἀπῆλθον· καὶ οἱ ἀκούσαντες διήγγειλαν τοῖς στρατηγοῖς τῶν Ἀθηναίων.

οδ'. Οἱ δὲ πρὸς τὸ ἄγγελμα ἐπέσχον τὴν νύκτα, νομίσαντες οὐκ ἀπάτην εἶναι. καὶ ἐπειδὴ καὶ ὡς οὐκ εὐθὺς ὥρμησαν, ἔδοξεν αὐτοῖς καὶ τὴν ἐπιοῦσαν ἡμέραν περι- Aug. 31.
μεῖναι, ὅπως ξυσκευάσαιντο ὡς ἐκ τῶν δυνατῶν οἱ στρατιῶται ὁτιχρησιμώτατα· καὶ τὰ μὲν ἄλλα πάντα καταλιπεῖν, ἀναλαβόντας δὲ αὐτὰ ὅσα περὶ τὸ σῶμα ἐς δίαιταν ὑπῆρχεν ἐπιτήδεια, ἀφορμᾶσθαι. Συρακούσιοι δὲ καὶ Γύλιππος τῷ μὲν πεζῷ προεξελθόντες, τάς τε ὁδοὺς τὰς κατὰ τὴν χώραν, ἢ εἰκὸς ἦν τοὺς Ἀθηναίους ἰέναι, ἀπεφράγνυσαν, καὶ τῶν ῥείθρων καὶ τῶν ποταμῶν τὰς διαβάσεις ἐφύλασσον· καὶ ἐς ὑποδοχὴν τοῦ

noctc copias abduceret, quod Syracuſani vias obſediſſent, ſed poſtridie copiis per otium inſtructis abiret. Atque illi quidem, cum haec dixiſſent, diſceſſerunt: hi vero ducibus Athenienſium renuntiarunt ea, quae audierant.

LXXIV. Duces autem ob iſtum nuntium ea nocte ſuperſederunt, nullam ſubeſſe fraudem rati. Cum autem ne ſic quidem ſtatim diſceſſiſſent, ipſis & inſequentem diem illic remanere placuit, ut milites pro praeſenti facultate convaſarent, quam commodiſſime poſſent: & cetera quidem omnia relinquere, ſolis vero rebus, quotquot ad corporis victum ac veſtitum eſſent neceſſariae, aſſumtis, abire. Syracuſani vero & Gylippus cum peditatu quidem prius egreſſi, quam illi diſcederent, & vias per ſuam regionem, qua verisimile erat Athenienſes iter facturos, obſtruxerunt, & rivorum & fluviorum tranſitus cuſtodiebant.

στρατεύματος, ὡς κωλύσοντες, ἢ ἐδόκει ἐτάσσοντο· ταῖς δὲ ναυσὶ προσπλεύσαντες, τὰς ναῦς τῶν Ἀθηναίων ἀπὸ τοῦ αἰγιαλοῦ ἀφεῖλκον. ἐνέπρησαν δέ τινας ὀλίγας, ὥσπερ διενοήθησαν αὐτοὶ οἱ Ἀθηναῖοι, τὰς δ' ἄλλας καθ' ἡσυχίαν, οὐδενὸς κωλύοντος, ὡς ἑκάστην ποι ἐκπεπτωκυῖαν ἀναδησάμενοι ἐκόμιζον ἐς τὴν πόλιν.

ϟε'. Μετὰ δὲ τοῦτο, ἐπειδὴ ἐδόκει τῷ Νικίᾳ καὶ τῷ Δημοσθένει ἱκανῶς παρασκευάσασθαι, καὶ ἡ ἀνάσταsις ἤδη τοῦ στρατεύματος τρίτῃ ἡμέρᾳ ἀπὸ τῆς ναυμαχίας ἐγίγνετο. δεινὸν οὖν ἦν οὐ καθ' ἓν μόνον τῶν πραγμάτων, ὅτι τάς τε ναῦς ἀπολωλεκότες πάσας ἀπεχώρουν, καὶ ἀντὶ μεγάλης ἐλπίδος καὶ αὐτοὶ καὶ ἡ πόλις κινδυνεύοντες· ἀλλὰ καὶ ἐν τῇ ἀπολείψει τοῦ στρατοπέδου ξυνέβαινε τῇ τε ὄψει ἑκάστῳ ἀλγεινὰ καὶ τῇ γνώμῃ αἰσθέσθαι. τῶν τε γὰρ νεκρῶν ἀτάφων ὄν-

Sept. 1.

Et in locis ad excipiendum exercitum opportunis, quia tranſiturus videbatur, ut eius tranſitum impedirent, acie inſtructa ſtabant. At cum claſſe profecti, Athenienſium naves a litore abſtraxerunt. Aliquot etiam concremarunt, (quod vel ipſi Athenienſes facere in animo habuerant) ceteras vero per otium, nullo prohibente, ut quaeque forte aliquo delata fuerat, religatas in urbem traxerunt.

LXXV. Poſtea vero, cum Niciae & Demoſtheni res ſatis praeparatae eſſe viſae ſunt, iam tertio a navali pugna die caſtra moverunt. Haec igitur res erat acerba, non tantum ſi quis ſingula ſpectet, quod nimirum & amiſſa claſſe univerſa diſcederent, & pro magna ſpe, cum ipſi tum etiam univerſa civitas in ſalutis diſcrimen eſſet adducta; ſed etiam, quod in caſtris deferendis unicuique contingerent, quae nec ſpectari nec cogitari ſine animi angore poſ-

τῶν, ὁπότε τὶς ἴδοι τινὰ τῶν ἐπιτηδείων κείμενον, ἐς λύπην μετὰ Φόβου καθίστατο. καὶ οἱ ζῶντες καταλειπόμενοι τραυματίαι τε καὶ ἀσθενεῖς, πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν, καὶ τῶν ἀπολωλότων ἀθλιώτεροι. πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι, ἐς ἀπορίαν καθίστασαν, ἄγειν τε σφᾶς ἀξιοῦντες, καὶ ἕνα ἕκαστον ἐπιβοώμενοι, εἴ τινά που τὶς ἴδοι ἢ ἑταίρων, ἢ οἰκείων· τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκχρεμαννύμενοι, καὶ ἐπακολουθοῦντες ὅσον δύναιντο. εἴτῳ δὲ προλείποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ ὀλίγων ἐπιβειασμῶν καὶ οἰμωγῆς ἀπολειπόμενοι, ὥστε δάκρυσι πᾶν τὸ στράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ, μὴ ῥᾳδίως ἀφορμᾶσθαι, καίπερ ἐκ πολεμίας τε, καὶ μεί-

sent. Nam cum mortui eſſent inſepulti, quoties quis aliquem neceſſariorum iacentem conſpexiſſet, moerore ſimul & metu afficiebatur. Vivi vero, qui relinquebantur & vulnerati & aegroti, multo maiorem moerorem, quam mortui, vivis afferebant, & multo miſeriores, quam defuncti, ipſis eſſe videbantur. Nam ad preces & lamentationes converſi ceteros ad dubitationem adigebant, utrum, illis relictis, abeundum, an cum illis remanendum, quod illos orarent, ut ſe abducerent, & uniuſcuiuſque fidem implorarent, ſicubi quis aliquem aut ſodalium aut familiarium animadvertiſſet, ac ex contubernalium iam abeuntium cervicibus penderent, &, quouſque poſſent, eos inſequerentur. Quod ſi quos corporis vires ante confectum iter deſeciſſent, non ſine multis obteſtationibus ac ploratibus ab aliis deſerebantur; adeo ut omnis exercitus, lacrimis repletus & huiuſmodi dubitatione retardatus, non facile diſcedere poſſet, quamvis ex hoſtico diſcedendum ipſis eſſet,

ζω ἢ κατὰ δάκρυα, τὰ μὲν πεπονθόταις ἤδη, τὰ δὲ περὶ τῶν ἐν ἀφανεῖ δεδιόταις μή τι πάθωσι. κατήφειά τέ τις ἅμα καὶ κατάμεμψις σφῶν αὐτῶν πολλὴ ἦν. οὐδὲν γὰρ ἄλλο ἢ πόλει ἐκπεπολιορκημένῃ ἐῴκεσαν ὑποφευγούσῃ, καὶ ταύτῃ οὐ σμικρᾷ. μυριάδες γὰρ τοῦ ξύμπαντος ὄχλου οὐκ ἐλάσσους τεσσάρων ἅμα ἐπορεύοντο. καὶ τούτων οἵ τε ἄλλοι πάντες ἔφερον ὅ, τι τὶς ἐδύνατο, κατὰ τὸ χρήσιμον, καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππεῖς, παρὰ τὸ εἰωθὸς, αὐτοί τε [καὶ] τὰ σφέτερα αὐτῶν σιτία, ὑπὸ τοῖς ὅπλοις, οἱ μὲν, ἀπορίᾳ ἀκολούθων, οἱ δὲ, ἀπιστίᾳ. ἀπηυτομολήκεσαν γὰρ πάλαι τε, καὶ οἱ πλεῖστοι παραχρῆμα. ἔφερον δὲ οὐδὲ ταῦτα ἱκανά. σῖτος γὰρ οὐκέτι ἐν τῷ στρατοπέδῳ. καὶ μὴν ἡ ἄλλη αἰκία, καὶ ἰσομοιρία τῶν κακῶν, ἔχουσά τινα ὅμως τὸ μετὰ πολλῶν κού-

tum iam vel maiora paſſis, quam quae lacrimis defleri poſſent, tum etiam futura metuentibus, ne quid gravius paterentur. Magnuſque moeror, ſimul & magna eaque mutua inter ipſos incuſatio erat. Nihil enim aliud, quam expugnatae civitati, eique non parvae, quae profugeret, ſimiles erant. Nam univerſa multitudo ſimul proficiſcentium non erat infra numerum quadraginta millium. Horum autem cum ceteri omnes, quod quiſque poterat, prout utile ac neceſſarium ipſis erat, tum etiam gravis armaturae milites, & equites, praeter conſuetudinem, ipſi quoque ſua etiam cibaria ſub armis ferebant, alii quidem, propter ſervorum inopiam, alii vero, propter diffidentiam. Transfugerant enim & iampridem & tunc temporis plerique. Atque ne haec quidem, quae ferebant, ipſis ſufficiebant. Nullus enim commeatus in caſtris amplius erat. Quin etiam cetera ignominia, & aequalis malorum por-

Θισιν, εὐδ' ὡς ῥᾳδία ἐν τῷ παρόντι ἐδοξάζετο· ἄλλως τε καὶ ἀπὸ οἵας λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτου ἐς οἵαν τελευτὴν καὶ ταπεινότητα ἀφῖκτο. μέγιστον γὰρ δὴ τὸ διάφορον τοῦτο τῷ Ἑλληνικῷ στρατεύματι ἐγένετο, οἷς ἀντὶ μὲν τοῦ ἄλλους δουλωσομένους ἥκειν, αὐτοὺς τοῦτο μᾶλλον δεδιότας μὴ πάθωσι ξυνέβη ἀπιέναι· ἀντὶ δ' εὐχῆς τε καὶ παιάνων, μεθ' ὧν ἐξέπλεον, πάλιν τούτων τοῖς ἐναντίοις ἐπιφημίσμασιν ἀφορμᾶσθαι· πεζοὺς δὲ ἀντὶ ναυβατῶν περευσμένους, καὶ ὁπλιτικῷ προσχόντας μᾶλλον ἢ ναυτικῷ. ὅμως δὲ ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι κινδύνου πάντα ταῦτα αὐτοῖς οἰστὰ ἐφαίνετο.

ιστ'. Ὁρῶν δὲ ὁ Νικίας τὸ στράτευμα ἀθυμοῦν, καὶ

tio, quae quoddam levamentum alias habet, cum multos habemus ſocios, tamen ne ſic quidem tunc facilis videbatur: praeſertim cogitantibus, quanto ex ſplendore, & gloriae dignitate, qua initio praediti fuiſſent, in quem exitum, & in quam humilem fortunam deveniſſent. Haec enim rerum commutatio illi Graecorum exercitui maxima contigit. Qui enim illuc iverant, ut alios in ſervitutem redigerent, illis accidit, ut ipſi hoc potius metuentes, ne ab illis in ſervitutem redigerentur, abſcederent: & pro votis laetiſque carminibus, cum quibus ad hanc expeditionem profecti fuiſſent, rurſus cum ominis mali vocibus, quae his erant contrariae, diſcederent; & ex nauticis facti pedeſtres iter facerent, animumque potius ad gravem armaturam, quam ad claſſem inſtruendam, appellerent. Haec tamen omnia propter periculi adhuc impendentis magnitudinem ipſis ferenda videbantur.

LXXVI. Nicias autem, cernens exercitum animo con-

ἐν μεγάλῃ μεταβολῇ ὂν, ἐπιπαριὼν, ὡς ἐκ τῶν ὑπαρχόντων ἐθάρσυνέ τε καὶ παρεμυθεῖτο, βοῇ τε χρώμενος ἔτι μᾶλλον ἑκάστοις καθ' οὓς γίγνοιτο, ὑπὸ προθυμίας, καὶ βουλόμενος ὡς ἐπιπλεῖστον γεγωνίσκων ὠφελεῖν.

οζ'. Ἔτι καὶ ἐκ τῶν παρόντων, ὦ Ἀθηναῖοι καὶ ξύμμαχοι, ἐλπίδα χρὴ ἔχειν· (ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶνδε ἐσώθησαν) μηδὲ καταμέμψασθαι ὑμᾶς ἄγαν αὐτοὺς μήτε ταῖς ξυμφοραῖς, μήτε ταῖς παρὰ τὴν ἀξίαν νῦν κακοπαθείαις. κἀγώ τοι οὐδενὸς ὑμῶν οὔτε ῥώμῃ προφέρων, (ἀλλ' ὁρᾶτε δὴ, ὡς διάκειμαι ὑπὸ τῆς νόσου) οὔτ' εὐτυχίᾳ δοκῶν που ὕστερός του εἶναι κατὰ τὸν ἴδιον βίον, καὶ ἐς τἆλλα, νῦν ἐν τῷ αὐτῷ κινδύνῳ τοῖς φαυλοτάτοις αἰωροῦμαι· καίτοι πολλὰ μὲν ἐς θεοὺς νόμιμα

sternatum, & in magna fortunae commutatione constitutum, ad singulos ordines adiens, ut pro praesenti rerum statu eos confirmabat & consolabatur, & clamore longe maiore, quam unquam ante, utebatur, ut ad quosque accedebat, tum propter animi studium ac ardorem, tum etiam quod suae vociferationis fructum quam longissime per castra manare cuperet.

LXXVII. *Vel in praesenti rerum statu, Athenienses ac socii, spem oportet habere: (iam enim nonnulli vel ex asperioribus malis, quam sunt ista, incolumes evaserunt) neque supra modum vobismetipsis succensere vel propter clades, vel propter aerumnas, quae praeter dignitatem nunc premunt. Nam & ego, quamvis neque corporis viribus valentior sim, quam ullus de vobis, (vos enim ipsi iam videtis, ut morbo sim affectus) neque felicitate cuiquam secundus antea fuisse videar, cum in privata vita, tum in ceteris rebus, nunc tamen in eodem periculo pendens versor, in quo vel abiectissimae conditionis homines versantur: quamquam*

δεδιήτημαι, πολλὰ δὲ ἐς ἀνθρώπους δίκαια καὶ ἀνεπίφθονα. ἀιθ' ὧν ἡ μὲν ἐλπὶς ὅμως θαρσεῖα τοῦ μέλλοντος· αἱ δὲ ξυμφοραὶ οὐ κατ' ἀξίαν δὴ φέβουσι· τάχα δ' ἂν καὶ λωφήσειαν. ἱκαιὰ γὰρ τοῖς τε πολεμίοις εὐτύχηται, καὶ εἴτῳ θεῶν ἐπίφθονοι ἐστρατεύσαμεν, ἀποχρώντως ἤδη τετιμωρήμεθα. ἤλθον γάρ που καὶ ἄλλοι τινὲς ἤδη ἐφ' ἑτέρους, καὶ ἀνθρώπεια δράσαντες, ἀνεκτὰ ἔπαθον. καὶ ἡμᾶς εἰκὸς ἰὼν τά τε ἀπὸ τοῦ θεοῦ ἐλπίζειν ἡπιώτερα ἔξειν. (εἴκτου γὰρ ἀπ' αὐτῶν ἀξιώτεροι ἤδη ἐσμὲν ἢ φθόνου) καὶ ὁρῶντες ὑμᾶς αὐτοὺς, οἷοι ὁπλῖται ἅμα καὶ ὅσοι ξυντεταγμένοι χωρεῖτε, μὴ καταπεπλῆχθε ἄγαν· λογίζεσθε δὲ ὅτι αὐτοί τε πόλις εὐδὺς ἐστὲ, ὁποι ἂν καθέζοισθε, καὶ ἄλλη οὐδεμία ὑμᾶς τῶν ἐν

multa quidem ex patriis inſtitutis ad pietatem Diis praeſtandam perpetuo feci; multis etiam pietatis officiis, quae debent invidia carere, mortales ſum proſecutus. Quare, quamvis noſtra fortuna prorſus afflicta videatur, rerum tamen futurarum ſpes eſt audax: ſed clades, quas nullo noſtro merito accepimus, nos iam terrent. At fortaſſe ceſſabunt. Nam & ſatis feliciter cum hoſtibus eſt actum, &, ſi cui Deorum inviſi bellum hoc ſuſcepimus, ſatis poenarum iam dedimus. Etenim & alii nonnulli iam bellum aliis intulerunt, qui cum humanitus peccaſſent, poenas tamen tolerabiles dederunt. Quamobrem veriſimile videtur, nos quoque nunc debere ſperare, Deum mitius nobiſcum eſſe acturum: (iam enim ipſorum Deorum miſericordia, quam odio, ſumus digniores) & convenit vos, cum videatis vos ipſos, quales & qui gravis armaturae milites acie inſtructa pergitis, animis non nimis conſternari. Quin etiam illud cogitate, vos ipſos, ubicunque conſederitis, ibi protinus vobis ipſis eſſe civitatem; & fore, ut nulla alia Sicilienſis civitas aut veſtrum, ſi eam invadatis, impetum

Σικελίᾳ οὔτ' ἂν ἐπιόντας δέξαιτο ῥᾳδίως, οὐδ' ἂν ἰόντας ἐνθένδε που ἐξαναστήσειε. τὴν δὲ πορείαν ὅστ' ἀσφαλῆ καὶ εὔτακτον εἶναι, αὐτοὶ φυλάξατε, μὴ ἄλλο τι ἡγησάμενος ἕκαστος, ἢ, ἐν ᾧ ἀναγκασθῇ χωρίῳ μάχεσθαι, τοῦτο καὶ πατρίδα καὶ τεῖχος κρατήσας ἕξειν. σπουδὴ δὲ ὁμοίως καὶ νύκτα καὶ ἡμέραν ἔσται τῆς ὁδοῦ. τὰ γὰρ ἐπιτήδεια, βραχέα ἔχομεν· καὶ ἢν ἀντιλαβώμεθα τοῦ Φιλίου χωρίου τῶν Σικελῶν, (οὗτοι γὰρ ἡμῖν διὰ τὸ Συρακουσίων δέος ἔτι βέβαιοί εἰσι) ἤδη νομίζετε ἐν τῷ ἐχυρῷ εἶναι. προπέμπετε δ' ὡς αὐτοὺς, καὶ ἀπαντᾶν, εἰρημένον, καὶ σιτία ἄλλα κομίζειν. τὸ δὲ ξύμπαν, γνῶτε, ὦ ἄνδρες στρατιῶται, ἀναγκαῖόν τε ὂν ὑμῖν ἀνδράσιν ἀγαθοῖς γίγνεσθαι, ὡς μὴ ὄντος χωρίου ἐγγὺς ὅποι ἂν μαλακισθέντες σωθείητε, καὶ ἣν νῦν διαφύγητε τοὺς πολεμίους, οἵ τε ἄλλοι τευξόμενοι, ὧν ἐπιθυμεῖτέ

facile ſuſtineat, aut ſi ſedes alicubi fixeritis, expellat. Iter autem ut tuto & ſervatis ordinibus fiat, operam vos ipſi caute dabitis, nihil aliud unuſquiſque ſecum ipſe reputans, niſi, quocunque in loco pugnare coactus fuerit, hunc, ſi victoria potiatur, & patriam & urbem ſibi futurum. Iter autem & noctu & interdiu pariter magna feſtinatione faciendum erit. Exiguos enim commeatus habemus. Et ſi quod amicum oppidum Siculorum nacti fuerimus, (iſti enim propter Syracuſanorum metum adhuc erga nos in fide conſtanter perſtant) iam vero exiſtimate, vos in loco tuto eſſe. Ad eos vero nuntium praemittite, qui iubeat eos nobis obviam venire, & alios commeatus afferre. In ſumma hoc ſciatis, milites, neceſſarium eſſe vobis, viris eſſe fortibus, quod nullus ſit locus propinquus, quo, ſi ignave vos geſſeritis, ſalvi pervenire poſſitis; &, ſi nunc hoſtes devitaritis, ceteros quidem de vobis ea conſecuturos, quae reviſere concupiſcitis; Athenienſes vero magnam

που ἐπιδεῖν, καὶ οἱ Ἀθηναῖοι τὴν μεγάλην δύναμιν τῆς πόλεως, καίπερ πεπτωκυῖαν, ἐπανορθώσοντες. ἄνδρες γὰρ πόλις, καὶ οὐ τείχη, οὐδὲ νῆες ἀνδρῶν κεναί.

οη'. Ὁ μὲν Νικίας, τοιάδε παρακελευόμενος ἅμα ἐπῄει τὸ στράτευμα, καὶ εἴπη ὁρῴη διεσπασμένον καὶ μὴ ἐν taξει χωροῦν, ξυνάγων καὶ καθιστάς· καὶ ὁ Δημοσθένης, οὐδεν ἧσσον τοῖς καθ' ἑαυτὸν τοιαῦτά τε καὶ παραπλήσια λέγων. τὸ δὲ ἐχώρει ἐν πλαισίῳ τεταγμένον τοῦ Νικίου, ἑφεπόμενον δὲ, τὸ Δημοσθένους· τοὺς δὲ σκευοφόρους καὶ τὸν πλεῖστον ὄχλον ἐντὸς εἶχον οἱ ὁπλῖται. καὶ ἐπειδή τε ἐγένοντο ἐπὶ τῇ διαβάσει τοῦ Ἀνάπου ποταμοῦ, εὗρον ἐπ' αὐτῷ παρατεταγμένους τῶν Συρακουσίων καὶ ξυμμάχων, καὶ τρεψάμενοι αὐτοὺς καὶ κρατήσαντες τοῦ πόρου, ἐχώρουν ἐς τὸ πρόσθεν. οἱ δὲ Συρακούσιοι, παριππεύοντές τε προσέκειντο, καὶ

veſtrae civitatis potentiam, etſi collapſam, erecturos. Viri enim ſunt civitas, non autem moenia, neque naves viris vacuae.

LXXVIII. His Nicias exercitum cohortans ſimul adibat, & ſicubi disiunctum nec ordine ſervato procedentem videbat, cogebat & in ordinem redigebat. Demoſthenes vero nihilo minus eadem aut his ſimilia apud ſuos dicebat. Et Niciae quidem copiae agmine quadrato ibant; Demoſthenis vero copiae ſequebantur. Lixas vero & plurimam turbam gravis armaturae milites intra medium ſuum agmen receperunt. Poſtquam autem ad Anapi fluminis tranſitum pervenerunt, Syracuſanorum ac ſociorum manum illic inſtructam invenerunt: quibus fugatis, & tranſitu in ſuam poteſtatem redacto, ultra proceſſerunt. Et Syracuſanorum equites obequitantes illis inſtabant, & levis armaturae milites iaculis eos inceſſebant. Atque hac qui-

ἑσαϰοντίζοντες οἱ ψιλοί. ϰαὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ προελ-
βόντες σταδίους ὡς τεσσαράϰοντα, ηὐλίσαντο πρὸς λό-
Sept. 2. φῳ τινὶ οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ πρωῒ ἐπορεύοντο,
ϰαὶ προῆλθον ὡς εἴϰοσι σταδίους. ϰαὶ ϰατέβησαν ἐς χω-
ρίον ἄπεδόν τι, ϰαὶ αὐτοῦ ἐστρατοπεδεύσαντο, βουλό-
μενοι ἔϰ τε τῶν οἰϰιῶν λαβεῖν τι ἐδώδιμον (ᾠϰεῖτο γὰρ
ὁ χῶρος) ϰαὶ ὕδωρ μετὰ σφῶν αὐτῶν φέρεσθαι αὐτό-
θεν. ἐν γὰρ τῷ πρόσθεν ἐπὶ πολλὰ στάδια ἢ ἔμελλον
ἰέναι, οὐϰ ἄφθονον ἦν. οἱ δὲ Συραϰούσιοι ἐν τούτῳ προελ-
βόντες, τὴν δίοδον τὴν ἐν τῷ πρόσθεν ἀπετείχιζον. ἦν δὲ
λόφος ϰαρτερὸς, ϰαὶ ἑϰατέρωθεν αὐτοῦ χαράδρα ῥηγνύ-
Sept. 3. μενος· ἐϰαλεῖτο δὲ Ἀϰραῖον λέπας. τῇ δ' ὑστεραίᾳ οἱ Ἀ-
θηναῖοι προῆσαν, ϰαὶ οἱ τῶν Συραϰουσίων ϰαὶ ξυμμά-
χων αὐτοὺς ἱππεῖς ϰαὶ ἀϰοντισταὶ ὄντες πολλοὶ ἑϰάτε-
ροι ἐϰώλυον, ϰαὶ ἐσηϰόντιζόν τε ϰαὶ παρίππευον. ϰαὶ

dem die Athenienſes, ſtadia circiter quadraginta progreſſi, caſtris ad quendam collem poſitis pernoctarunt. Poſtridie vero, diluculo iter ingreſſi ſunt, & viginti circiter ſtadia proceſſerunt: & in quendam campeſtrem locum deſcenderunt, ibique caſtra poſuerunt, tum quod aliquid cibariorum ſumere ex domibus illis, (is enim locus habitabatur) tum etiam quod aquam ſecum illinc afferre vellent. Nam ultra locum illum, ad multa ſtadia, qua tranſituri erant, non erat magna aquae copia. Interea vero Syracuſani progreſſi, tranſitum ulteriorem muro cinxerunt. Erat autem collis natura munitus, & ab utraque eius parte erat torrentis alveus rupibus praeceps. Vocabatur autem Acraeum lepas. Poſtridie vero Athenienſes progredi coeperunt, & Syracuſanorum ac ſociorum equites & iaculatores, qui utrique multi erant, ipſos progredi prohibebant, & iacu-

χρόνον μὲν πολὺν ἐμάχοντο οἱ Ἀθηναῖοι, ἔπειτα ἀνεχώρησαν πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον, καὶ τὰ ἐπιτήδεια οὐκέτι ὁμοίως εἶχον. οὐ γὰρ ἔτι ἀποχωρεῖν οἷόν τ' ἦν ἀπὸ τῶν ἱππέων.

οθ'. Πρωὶ δὲ ἅραντες, ἐπορεύοντο αὖθις, καὶ ἐβιάσαντο πρὸς τὸν λόφον ἐλθεῖν τὸν ἀποτετειχισμένον· καὶ εὗρον πρὸ ἑαυτῶν ὑπὲρ τοῦ ἀποτειχίσματος τὴν πεζὴν στρατιὰν παρατεταγμένην οὐκ ἐπ' ὀλίγων ἀσπίδων. στενὸν γὰρ ἦν τὸ χωρίον. καὶ προσβαλόντες οἱ Ἀθηναῖοι ἐτειχομάχουν, καὶ βαλλόμενοι ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος, (διϊκνεῦντο γὰρ ῥᾷον οἱ ἄνωθεν) καὶ οὐ δυνάμενοι βιάσασθαι, ἀνεχώρουν πάλιν, καὶ ἀνεπαύοντο. ἔτυχον δὲ καὶ βρονταί τινες ἅμα γενόμεναι, καὶ ὕδωρ, οἷα τοῦ ἔτους πρὸς μετόπωρον ἤδη ὄντος φιλεῖ Sept. 4.

lis inceſſebant & obequitantes infeſtabant. Et diu quidem Athenienſes pugnarunt, tandem vero in eadem caſtra rurſus ſe receperunt. Sed commeatus non aeque ac prius amplius habebant. Nam propter hoſtium equitatum non poterant amplius illinc recedere.

LXXIX. Mane tamen motis caſtris, rurſus ire perrexerunt, & ad collem muro cinctum, per vim pervenire tentarunt: & ante ſuas copias invenerunt pedeſtrem hoſtium exercitum, qui ſupra collis munitionem inſtructus ſtabat, acie non paucorum ſcutatorum in longitudinem exporrecta. Is enim locus erat arctus. Athenienſes autem munitionem aggreſſi oppugnare coeperunt: ſed cum telis ex colle, qui erat acclivis, a multis peterentur, (qui enim ex ſuperiore loco facilius pertingebant) nec eo poſſent perrumpere, retro ſe receperunt, atque quieverunt. Quin etiam caſu quaedam tonitrua ſimul & imbres tunc exſti-

γίγνεσθαι. ἀφ' ὧν οἱ Ἀθηναῖοι μᾶλλον ἔτι ἠθύμουν, καὶ ἐνόμιζον ἐπὶ τῷ σφετέρῳ ὀλέθρῳ καὶ ταῦτα πάντα γίγνεσθαι. ἀναπαυομένων δὲ αὐτῶν, ὁ Γύλιππος καὶ οἱ Συρακούσιοι πέμπουσι μέρος τι τῆς στρατιᾶς, ἀποτειχιοῦντας ἐκ τοῦ ὄπισθεν αὐτοὺς ἢ προεληλύθεσαν. ἀντιπέμψαντες δὲ κἀκεῖνοι σφῶν αὐτῶν τινας, διεκώλυσαν.
Sept. 5. καὶ μετὰ ταῦτα πάσῃ τῇ στρατιᾷ ἀναχωρήσαντες πρὸς τὸ πεδίον μᾶλλον οἱ Ἀθηναῖοι, ηὐλίσαντο· τῇ δ' ὑστεραίᾳ προὐχώρουν. καὶ οἱ Συρακούσιοι προσέβαλλόν τε πανταχῇ αὐτοῖς κύκλῳ, καὶ πολλοὺς κατετραυμάτιζον. καὶ εἰ μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι, ὑπεχώρουν· εἰ δ' ἀναχωροῖεν, ἐπέκειντο, καὶ μάλιστα τοῖς ὑστάτοις προσπίπτοντες, εἴπως κατὰ βραχὺ τρέψάμενοι, πᾶν τὸ στράτευμα φοβήσειαν. καὶ ἐπὶ πολὺ μὲν τοιούτῳ τρόπῳ ἀντεῖχον οἱ

terunt, ut anni tempore, quod ad auctumnum iam accedebat, fieri ſolet. Quamobrem Athenienſes longe vehementius animos abiicere coeperunt, quod haec etiam omnia in ſuum exitium fieri putarent. Ipſis autem quieſcentibus, Gylippus & Syracuſani partem quandam copiarum miſerunt, quae ipſos muro intercluderent a tergo, qua venerant. Sed cum ipſi quoque viciſſim quoſdam de ſuis miſiſſent, hoc fieri prohibuerunt. Poſtea vero Athenienſes propius planitiem reverſi, caſtris ibi poſitis pernoctarunt: poſtridie vero progredi coeperunt. Ipſos autem Syracuſani undique circumfuſi adoriebantur, multoſque ſauciabant. Et quoties Athenienſes impreſſionem in eos faciebant, ipſi ſe ſubducebant: quoties vero recedebant, illis inſtabant, praecipue vero noviſſimum agmen carpentes, ſi forte ea parte paulatim in fugam verſa, reliquum exercitum perterrefacerent. Et diu Athenienſes hoc modo Syracuſanis

Ἀθηναῖοι· ἔπειτα προελθόντες πέντε ἢ ἓξ σταδίους, ἀνεπαύοντο ἐν τῷ πεδίῳ. ἀνεχώρησαν δὲ καὶ οἱ Συρακούσιοι ἀπ' αὐτῶν ἐς τὸ ἑαυτῶν στρατόπεδον.

π'. Τῇ δὲ νυκτὸς τῷ Νικίᾳ καὶ Δημοσθένει ἐδόκει, ἐπειδὴ κακῶς σφίσι τὸ στράτευμα εἶχε, τῶν τε ἐπιτηδείων πάντων ἀπορία ἤδη, καὶ κατατετραυματισμένοι ἦσαν πολλοὶ, ἐν πολλαῖς προσβολαῖς τῶν πολεμίων γεγενημέναις, πυρὰ καύσαντες ὡς πλεῖστα ἀπάγειν τὴν στρατιὰν, μηκέτι τὴν αὐτὴν ὁδὸν ᾗ διενοήθησαν, ἀλλὰ τοὐναντίον ἢ οἱ Συρακούσιοι ἐτήρουν, πρὸς τὴν θάλασσαν. ἦν δὲ ἡ ξύμπασα ὁδὸς αὕτη οὐκ ἐπὶ Κατάνης τῷ στρατεύματι, ἀλλὰ κατὰ τὸ ἕτερον μέρος τῆς Σικελίας, τὸ πρὸς Καμαρίναν καὶ Γέλαν, καὶ τὰς ταύτῃ πόλεις καὶ Ἑλληνίδας καὶ βαρβάρους. καύσαντες οὖν πυρὰ πολλὰ, ἐχώρουν ἐν τῇ νυκτί. καὶ αὐτοῖς (οἷον φι-

resſiterunt: deinde, quinque ſexve ſtadia progreſſi, in planitie conquieverunt. Syracuſani quoque ab illis digreſſi in ſua caſtra redierunt.

LXXX. Noctu vero Niciae & Demoſtheni placuit, (quoniam ipſorum exercitus male ſe habebat, cum ob omnis commeatus inopiam, qua iam premebatur, tum ob multitudinem eorum, qui in multis incurſionibus ab hoſte factis vulnerati fuerant,) quam plurimis ignibus accenſis abducere copias, non tamen amplius eadem via, qua conſtituerant, ſed alia ei contraria, quam Syracuſani ſervabant, mare verſus. Totum autem hoc iter, quod exercitus faciebat, non ad Catanam ducebat, ſed in aliam Siciliae partem, Camarinam verſus & Gelam, aliaſque tum Graecas tum barbaras urbes, in illa Siciliae parte ſitas. Accenſis igitur multis ignibus, per noctem proficiſci coe-

λεῖ καὶ πᾶσι στρατοπέδοις, μάλιστα δὲ τοῖς μεγίστοις, φόβοι καὶ δείματα ἐγγίγνεσθαι, ἄλλως τε καὶ ἐν νυκτί τε καὶ διὰ πολεμίας, καὶ ἀπὸ πολεμίων οὐ πολὺ ἀπεχόντων ἰοῦσιν) ἐμπίπτει ταραχή. καὶ τὸ μὲν Νικίου στράτευμα, ὥσπερ ἡγεῖτο, ξυνέμεινέ τε καὶ προὔλαβε πολλῷ· τὸ δὲ Δημοσθένους, τὸ ἥμισυ μάλιστα καὶ τὸ
